417

# ΠΕΡΙ ΤΟΥ ΕΝ ΔΕΛΦΟΙΣ ΕΙ.

ΥΠΟ

ΣΤΕΦΑΝΟΥ ΚΑΡΑΘΕΟΔΩΡΗ ΙΑΤΡΟΥ.

« Διὰ τοῦτό τοι καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἱερῶν
» τὰς σφίγγας ἱδρύονται, ὡς αἰνιγματώδους τοῦ πε-
» ρὶ Θεοῦ λόγου καὶ ἀσαφοῦς ὄντος. »

(Κλημ. Στρωμ. Ε' σελ. 240.)



Κ/π. Α ΩΜΖ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΠΕΡΙ ΤΟΥ

# ΕΝ ΔΕΛΦΟΙΣ

# ΕΙ.

ΥΠΟ

ΣΤΕΦΑΝΟΥ ΚΑΡΑΘΕΟΔΩΡΗ ΙΑΤΡΟΥ.

« Διὰ τοῦτό τοι καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἱερῶν » τὰς σφίγγας ἱδρύονται, ὡς αἰνιγματώδους τοῦ πε- » ρὶ Θεοῦ λόγου καὶ ἀσαφοῦς ὄντος. »

(Κλημ. Στρωμ. Ε. σελ. 240.)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



ΕΝ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΙ,

ΤΥΠΟΙΣ Ι. ΛΑΖΑΡΙΔΟΥ.

ΑΩΜΖʹ.

Πρᾶξις Τυπογραφείου

Ἀριθ. 18.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τὴν περὶ τοῦ ἐν Δελφοῖς ΕΙ συγγραφήν μου ταύτην, οὖσαν ἀπόσπασμα τῶν περὶ τοῦ Ἑλληνικοῦ ἀλφαβήτου μελετημάτων, ἅπερ πρὸ παμπόλλων ἐνιαυτῶν συλλεχθέντα τε καὶ τηρηθέντα μοι μένουσιν ἀνέκδοτα διά τινας τοπικὰς δυσχερείας, ἔκρινα μὲν εὔλογον ἵνα ἐκδώσω κατ' ἰδίαν, ὅπως μὴ ἐξίτηλοι γένωνται ἰδέαι τινὲς, ὁποιαιοῦν, χρήσιμοι ἴσως εἰς τὴν φιλολογίαν τήν τε Ἑλληνίδα καὶ τὴν βάρβαρον· αἰτοῦμαι δὲ ἵλεων τὸν ἀναγνώστην διά τε τὸ ἀκατέργαστον αὐτῶν, καὶ τὸ ἐν πολλοῖς μὴ ἀκόλουθον· τὸ γὰρ ἑτεροειδὲς τῶν ἀσχολιῶν μου, καὶ ἡ στέρησις πολλῶν ἀναγκαιοτάτων βιβλίων, οἷς περ συμβούλοις χρώμενος καὶ τὰ ἡμαρτημένα ἂν διώρθουν, καὶ τὰ παρεωραμένα νῦν γε ἀνεπλήρουν, καὶ τὰ ἅπαξ πρὸ πολλῶν ἐτῶν γραφέντα μοι ἐν τεμαχίοις χάρτου, ἔνθεν κἀκεῖθεν παραριπτομένοις, εἰς δευτέρας φροντίδας καθυποβαλὼν, διευθέτουν ἂν ἐπὶ τὸ βέλτιον, πολλὰ παρὰ τοῖς σοφοῖς ἐντυγχάνουσιν ὑπὲρ ἐμοῦ. Ἂν γὰρ ἀχανεῖς καὶ μυριότευχοι βιβλιοθῆκαι πολλάκις στενὰ περιβάλλωσιν ὅρια εἰς τὰς χρείας τῶν καὶ ἄλλως ἀπειρομαθῶν ἀνδρῶν, τί λογιστέον περὶ ἡμῶν τῶν ἐνταῦθα βιούντων οἱονεὶ ἐν ἐρημίᾳ, καὶ ἐν λιμῷ λόγου. Εἶτα δὲ καὶ ἡ πρόθεσις τοῦ διαλευκᾶναί τινα τῆς βαρβάρου σοφίας ἅμα τε καὶ θεολογίας, ἥτις ἅπαντ' ἐπέσκεπε τοῖς συμβόλοις



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καὶ αἰνίγμασιν, ὡς καὶ ὁ Ἱερὸς Κλήμης σημειοῖ «τὴν βάρβαρον φιλοσοφίαν . . . . ἐπικεκρυμμένως καὶ διὰ συμβόλων προφητεύειν», ἐμοὶ μὲν, ξένῳ τε ὄντι καὶ ἀμυήτῳ, οὐκ ἀτόνου ἀπολογίας, αὐτοῖς δὲ συγκαταβάσεως ἀφορμὴ προὔπτη ἂν γένοιτο. Ἄλλως ὅμως μόνον ἀσύγγνωστόν μοι σύνοιδα ἁμάρτημα, τί γὰρ μὴ οὐκ ὀφείλω καὶ τὸ ἐν ἐμοὶ ἐκφῆναι μυστήριον ὁ τῶν παρ' ἄλλοις μυστηρίων ἱεροφάντης βουλόμενος εἶναι δοκεῖν; μόνον, λέγω, ἀσύγγνωστόν μοι ἁμάρτημα σύνοιδα, ὅτι ἐτόλμησα ἐφάψασθαι καὶ τοῦ μέχρι νῦν γε ἀλύτου πλατωνικοῦ προβλήματος, καὶ νωδὸς ὢν, σκληρότατον κατᾶξαι ὠρέχθην κάρυον· ὥςπου καὶ τῶν τις ἀστυκῶν σοφῶν χαριέντως ἐπ' αὐτὸ ἐξεφράσθη. Ἀλλὰ τὸ μὲν ἀφαμαρτεῖν τούτου ἴδιον ἐμὸν ἀτύχημα, ὃ δὴ καὶ πολλοὶ τῶν πολύ μου ἀξιωτέρων, σοφῶν ἀνδρῶν, καὶ τἀγαθὰ ζηλούντων, ἔπαθον πρότερον, τὸ δ' ἐπιτυχεῖν μέγιστον τῶν ἀγαθῶν ἀναλογιζομένῳ, πῶς γὰρ οὔ; εἴ γε τῷ θειοτάτῳ ἔμελλον Πλάτωνι συζῆν, ἔῤῥιπταί μοι ὁ κῦβος τρὶς, καὶ τρὶς ἐπ' ἀγαθῇ τῇ τύχῃ, ἂν ὁ Πυθαγορικὸς ἄβαξ βεβαιοῖ με τἀληθῆ. Εἴθε οὖν καὶ οἱ σοφοὶ, οἷς μέλει περὶ τοιούτων θεωρημάτων, καὶ ὧν ἐν γούνασιν αἱ ἀδέκαστοι κεῖνται ψῆφοι, μὴ καὶ αὐτοὶ τὴν μέλαιναν ἐπαγάγοιεν. Ἣν πάντως ἀπεκδέχομαι, καὶ κατὰ πάσης τῆς συγγραφῆς, ἐκ χειρὸς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τῶν ἐρεσχελίαν ἄντικρυς, καὶ κενεμβατούντων ἀνδρῶν ματαιοσχολίαν οἰομένων τὰ τοιαῦτα θεωρήματα. «οὐδὲν (γὰρ) ἐν ἀνθρώποισι διακριδόν ἐςι νόημα». Ἰστέον δὲ καὶ τοῦθ', ὅτι οὐ καθάπαξ σεσημείωταί μοι τὰ ἰδιάζοντα τῇ παρούσῃ συγγραφῇ θεωρήματα· οὐδ' εἰς τὴν τῶν ἑτέρων γνωμῶν ἀνασκευὴν ἐγκατατρίψαι τὸν χρόνον καὶ τὴν ὑπομονὴν τοὺς ἀναγνώστας μου ἔκρινα, περιττὸν οἰόμενος τοῦτο σοφοῖς τε καὶ ἀσόφοις, τοῖς μὲν, ὅτι εἴδασιν ἀκριβῶς τί, καὶ πῶς, καὶ μέχρι πόσου λέλεκται παρ' ἑκάστων, τοῖς δ', ὅτι κόμπον στυγνὸν ἐν οὐκ εἰδόσιν, ὡς δῆθεν εἰδὼς, ἤμελλον ὠφλῆσαι. Τὴν δὲ περὶ τοῦ Ἅγιος ὁ Θεὸς ὑπόνοιάν μου, ὡς ἁπλῆν ἐνταῦθα εἰκασίαν ἔθηκα.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

§. 1. Ἵνα δὲ μή τις ὑπολάβῃ παντάπασι στεῖραν ἀγαθῶν καρπῶν τὴν τοιαύτην τοῦ Ἀλφαβήτου Ἱστορίαν, φέρε, ἀρχαῖόν τι καὶ ἄλυτον, οὕτως εἰπεῖν, πρόβλημα προθῶμεν ἑαυτοῖς, λυόμενον, ὡς ἐγὼ πέποιθα, μόνον διὰ τῆς τοιαύτης γνώσεως, ὅπως τὸ παράδειγμα περιττὸν ἀναδείξῃ τὸν διὰ λόγου ὑπομνηματισμόν.

§. 2. Τὸ ἐν Δελφοῖς ΕΙ τὸ ἐν τῷ Πυθίῳ ναῷ « προεδρεῦον » ἁπάντων τῶν ἐκεῖ ἀπ᾿ αἰῶνος πολυτίμων ἀναθημάτων, Πλούταρχος μὲν μόνος, ὧν ἐγὼ οἶδα, διέσωσεν, ἀνακρίνας αὐτὸ τοῦ ΓΝΩΘΙ ΣΑΥΤΟΝ, καὶ τοῦ ΜΗΔΕΝ ΑΓΑΝ, καὶ τῶν λοιπῶν προγραμμάτων τῶν ἐν τῷ ναῷ, (ἃ καὶ Δελφικὰ παραγγέλματα ἰδίως ἐλέγοντο, ὡς ἐκ Διονυσίου τοῦ Θρακὸς τοῦ καὶ γραμματικοῦ ἀναφέρει ὁ Ἱερὸς Κλήμης Στρωμ. Ε. ή.) « οὐδενὸς ἧττον γόνιμον λόγον » · βιβλιάριον δ᾿ ἐπ᾿ αὐτὸ καθιερώσας, ὅπερ καὶ τὴν τοῦ χρόνου ἐπιρρόμαν ὑπεξέφυγε, διδάσκει ἡμᾶς τῇ εἰς πάντα περιέργῳ φιλολογικῇ καὶ φιλοσοφικῇ αὐτοῦ πολυμαθείᾳ, ὅτι « τοῦτο (τὸ ΕΙ) εἰκὸς οὐ κατὰ τύχην, οὐδ᾿ οἷον ἄπο κλήρου τῶν γραμμάτων μόνον ἐν *προεδρείᾳ* παρὰ τῷ Θεῷ γενέσθαι, καὶ λαβεῖν ἀναθήματος τάξιν ἱεροῦ καὶ θεάματος· ἀλλ᾿ ἢ δύναμιν αὐτοῦ κατιδόντας *ἰδίαν* καὶ *περιττὴν*, ἢ *συμβόλῳ* χρωμένους πρὸς ἕτερόν τι τῶν *ἀξίων σπουδῆς* τοὺς ἐν ἀρχῇ πρὸς τὸν θεὸν φιλοσοφήσαντας, οὕτω προσέσθαι ».

§. 3. Τρία οὖν ἀφηγεῖται τὰ ἐκεῖ καθιερωθέντα ΕΙ, ὧν « Τὸ μὲν χρυσοῦν . . . . , Λιβίας τῆς Καίσαρος γυναικὸς ὀνομαζόντων τῶν κατὰ τὸ ἱερὸν, τὸ δὲ χαλκοῦν, Ἀθηναίων· τὸ δὲ πρῶτον καὶ παλαίτατον, τῇ δὲ οὐσίᾳ ξύλινον, ἔτι νῦν τῶν σοφῶν καλοῦσιν, οὐχ ἑνὸς, ἀλλὰ κοινὸν ἀνάθημα πάντων γενόμενον ». Πολλῶν δὲ καὶ ποικίλων ἑρμηνειῶν φερομένων ἐν ἐκείνῳ τῷ καιρῷ Πλούταρχος τὰς ἐφεξῆς, οἱονεὶ κρατίστας, ἱστορεῖ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

α'. Ὅτι πέντε ὄντων τῶν ἀρχαίων σοφῶν σεσημείωται ὁ ἀριθμὸς αὐτῶν διὰ τοῦ ΕΙ, τοῦ Κλεοβούλου καὶ Περιάνδρου παρεισαχθέντων βίᾳ ἐν τοῖς ὕστερον. Γέγραπται δὲ ΕΙ ἀντὶ τοῦ Ε, τοῦ σημαίνοντος τὸν 5 ἀριθμὸν ( τοῦτο δ' οὐκ ἐκ τῶν τοῦ Πλουτάρχου, ἀλλ' ἐξ ἡμετέρας εἰκασίας ), διότι κατὰ τὸν Δειπνοσοφιστὴν ( Βιβ. β'. 5. ) « πάντες οἱ ἀρχαῖοι τῷ ΟΥ ἀντὶ τοῦ $\bar{\text{O}}$ στοιχείου προσεχρῶντο, παραπλησίως καὶ τῷ ΕΙ ἀντὶ τοῦ $\bar{\text{E}}$· » ὥσπερ ὁρῶμεν κἂν τῇ Ἰλιάδι τὸ πέμπτον βιβλίον σημειούμενον διὰ τοῦ ΕΙ. Ἀλλὰ ταύτην τὴν ἰδέαν, ἐκτὸς τοῦ, καὶ ἡμῖν εἶναι δυνατὸν παραγράψαι εὐκόλως λέγοντας, ὅτι τὸ ΕΙ οὔτε τῷ Ε ἀντιςοιχεῖ, οὔτ' ἐν ἀριθμοῦ μοίρᾳ οὐδέποτε τέθειται, ἀλλ' ἁπλῶς μακρᾶς τινος φωνῆς, διαφόρου τῆς τοῦ Ἔψιλον, σημεῖον ἴδιον τέτακται, ὡς δὴ καὶ τὸ ΟΥ σημεῖον μὲν φωνῆς μακρᾶς τοῦ Ο τέτακται, ἀλλ' οὐ καὶ τὸν αὐτὸν σημαίνει ἀριθμὸν, καὶ ὁ Πλούταρχος αὐτὸς ἀποδοκιμάζει δι' ἄλλους λόγους, ἐπιφέρων τὴν δευτέραν.

β'. Ὅτι Χαλδαῖός τις ξένος ἔλεγεν· ἑπτὰ ὄντων τῶν φωνηέντων τὸ Ε δεύτερον τῇ τάξει ἀφιέρωται, ὡς σημεῖον τοῦ Θεοῦ Ἀπόλλωνος, οὗ ὁ ναός. Ὁ γὰρ Ἥλιος, ὃν οἱ Ἕλληνες τὸν αὐτὸν ἡγοῦνται καὶ Ἀπόλλωνα, δεύτερος τῇ τάξει μετὰ τὴν Σελήνην ἐν τῷ τῶν πλανητῶν διακόσμῳ ἀριθμεῖται. Ἀλλ' αὐτὴν, ἐκτὸς καὶ τοῦ ὑπόκεισθαι εἰς τὴν ἀνωτέρω (α) ἀτοπίαν: τοῦ θεωρεῖν δηλαδὴ τὸ ΕΙ ταὐτὸν τῷ Ε κατά γε ἀριθμὸν, λῆρον ἡγούμενος ἐκσυρίττει· καὶ δικαίῳ τῷ λόγῳ· ἀμουσοτάτη γὰρ, καὶ ἥκις' ἀςρονομική· τέταρτος γάρ ἐςιν, ὡς μετὰ τὴν Σελήνην, τὴν Ἀφροδίτην καὶ τὸν Ἑρμῆν κατά γε τοὺς ἀρχαίους ἀριθμούμενος. Εἰ μὴ εἴποις κατὰ τὴν λαμπρότητα, ἀλλὰ καὶ οὕτω τακτέον αὐτὸν μᾶλλον πρῶτον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γ'. Ὅτι γέγραπται τὸ ΕΙ ὡς σύμβολον πεύσεως· οἱ γὰρ χρηςηριαζόμενοι πρὸς τοῦ θεοῦ ἐρωτῶσιν ΕΙ ποιητέον, ΕΙ πλευστέον, ΕΙ κτλ. κἀνταῦθα μακρούς τινας, καὶ παντάπασιν ἀνοικείους συλλογισμοὺς συῤῥάπτων μὲν ὡς ἐκ προσώπου δῆθεν τῶν τινος διαλεγομένων περὶ τῆς συλλογιστικῆς δυνάμεως τοῦ ΕΙ, δοκῶν δ' αὖ αὐτὸς ἑαυτῷ ἀπίθανος, παραιτεῖται μὲν ταύτην τὴν γνώμην, λέγει δέ.

δ'. Ὅτι ὑπετόπασάν τινες τὸ ΕΙ εὐκτικὸν, οἷον ἐν τῷ Εἴθε· καὶ

ἐπ' αὐτὸ φέρει παράδειγμα φράσεως· οὐδ' ἄτοπον, εὐκτήριον οἶκον διὰ συμβόλου εὐχῆς ἐπισημαίνεσθαι. Ἀλλ' αὐτὸς ἐπισυνάπτει

έ. Καὶ μαθηματικώτερον τοῦ δέοντος. Ὅτι τὸ Ε λόγῳ ἀριθμητικῷ πέντε σημαῖνον, τὸ δὲ πέντε ἐπειδὴ τῆς ἀρχικῆς ἀριθμήσεως κύριόν τι καὶ ἐπίσημον ὄν, ἴσχυσε δοῦναι τὸ ὄνομα εἰς πᾶσαν τὴν ἀρίθμησιν, ὅθεν ἐγένετο καὶ τὸ ῥῆμα *πεμπάζω*, συνώνυμόν τε καὶ ἰσοβάθμον τοῦ *ἀριθμῶ*, εἰκότως, ὡς σύμβολον ἁπάσης ἀριθμήσεως ἀφιέρωται τῷ Θεῷ τῆς σοφίας, ἀπαρχή τις ἀριθμητικῶν θεωρημάτων. Καὶ ἐν τούτῳ πολλά τινα Πυθαγορικῆς καὶ Πλατωνικῆς ἰδέας τε καὶ ἕξεως περί τε περιττοῦ καὶ ἀρτίου ἀριθμοῦ, καὶ λόγων ἁρμονικῶν κτλ. ἐπισωρεύει· καὶ δὴ καὶ ὡς «Ἀρχὴ μὲν ἀριθμοῦ παντὸς μονάς, τετράγωνος δὲ πρῶτος ἡ τετράς, ἐκ δὲ τούτων, ὥσπερ ἰδέας καὶ ὕλης πέρα ἐχούσης ἡ πεμπτάς. Εἰ δὲ δὴ καὶ τὴν μονάδα τετράγωνον ὀρθῶς ἔνιοι τίθενται, δύναμιν οὖσαν ἑαυτῆς, καὶ περαίνουσαν εἰς ἑαυτήν, ἐκ δυοῖν πεποιηκυῖα τῶν πρώτων τετραγώνων, ἡ πεμπτὰς οὐκ ἀπολέλοιπεν ὑπερβολὴν εὐγενείας». Ἀλλὰ πάλιν καὶ τῆς πεντάδος ταύτης τὴν προκριθεῖσαν εὐγένειαν τῇ τῆς ἑπτάδος, τῆς οὕτως ἀεικῶς ἐν δευτέρῳ λόγῳ τεθειμένης, ἐξαχρειοῖ· ὅθεν καὶ ἀποφαίνεται.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ϛ'. «Οὔτε οὖν ἀριθμόν, οὔτε τάξιν, οὔτε ἄλλο τῶν ἐλλειπῶν μορίων οὐδὲν οἶμαι τὸ γράμμα σημαίνειν, ἀλλ' ἐστὶν *αὐτοτελὴς τοῦ Θεοῦ προσαγόρευσις καὶ προσφώνησις*, ἅμα τῷ ῥήματι τὸν φθεγγόμενον εἰς ἔννοιαν καθιστῶσα τῆς τοῦ Θεοῦ δυνάμεως. Ὁ μὲν γὰρ Θεὸς ἕκαστον ἡμῶν ἐνταῦθα προσιόντα, οἷον ἀσπαζόμενος προσαγορεύει τῷ ΓΝΩΘΙ ΣΑΥΤΟΝ, ὃ τοῦ χαῖρε δή, οὐθὲν μεῖόν ἐστιν, ἡμεῖς δὲ πάλιν ἀμειβόμενοι τὸν Θεὸν ΕΙ φαμέν, ὡς ἀληθῆ καὶ ἀψευδῆ καὶ μόνην μόνῳ προσήκουσαν τὴν τοῦ εἶναι προσαγόρευσιν ἀποδιδόντες· ἡμῖν γὰρ ὄντως τοῦ *εἶναι* μέτεστιν οὐδέν, ἀλλὰ πᾶσα θνητὴ φύσις ἐν μέσῳ γενέσεως καὶ φθορᾶς γενομένη, φάσμα παρέχει καὶ δόκησιν ἀμυδρὰν καὶ ἀβέβαιον αὐτῆς· ἂν δὲ τὴν διάνοιαν ἐπερείσῃς λαβέσθαι βουλόμενος, ὥσπερ ἡ σφοδρὰ περίδραξις ὕδατος, τῷ πιέζειν εἰς ταὐτὸ καὶ συνάγειν, διαῤῥέον ἀπόλλυσι τὸ περιλαμβανόμενον, οὕτω τῶν παθημάτων μεταβάντων, ἑκάστου τὴν ἄγαν ἐνάργειαν ὁ λόγος διώκων, ἀποσφάλλεται, τῇ μὲν εἰς τὸ

γιγνόμενον αὐτοῦ, τῇ δ᾽ εἰς τὸ φθειρόμενον, οὐδενὸς λαβέσθαι μένοντος, οὐδὲ ὄντος ὄντως, δυνάμενος.» . . . . καὶ μετὰ πολλὰ . . . . «Ἀλλ᾽ ἔστιν ὁ Θεὸς, χρὴ φάναι, καί ἐστι κατ᾽ οὐδένα χρόνον, ἀλλὰ κατὰ τὸν αἰῶνα τὸν ἀκίνητον καὶ ἄχρονον καὶ ἀνέγκλιτον, καὶ οὗ πρότερον οὐδέν ἐστιν, οὐδὲ ὕστερον, οὐδὲ νεώτερον. Ἀλλ᾽ ΕΙΣ ὢν ἙΝΙ τῷ νῦν τὸ ἀεὶ πεπλήρωκε, καὶ μόνον ἐστὶ τὸ κατὰ τοῦτον ὄντως ὂν, οὐ γεγονὸς, οὐδ᾽ ἐσόμενον, οὐδ᾽ ἀρξάμενον, οὐδὲ παυσόμενον· οὕτως αὐτὸ δεῖ σεβομένους ἀσπάζεσθαι καὶ προσεθίζειν, ἢ καὶ νὴ Δία, ὡς ἔνιοι τῶν παλαιῶν ΕἿ ἝΝ· οὐ γὰρ πολλὰ τὸ θεῖόν ἐστιν. . . . ὅθεν εὖ καὶ τὸ πρῶτον ἔχει τῷ Θεῷ τῶν ὀνομάτων καὶ τὸ δεύτερον καὶ τὸ τρίτον. Ἀπόλλων μὲν γὰρ οἷον ἀρνούμενος τὰ πολλὰ, καὶ τὸ πλῆθος ἀποφάσκων ἐστίν· Ἴητος δὲ ὡς ΕΙΣ καὶ μόνος· Φοῖβον δὲ δήπου τὸ καθαρὸν καὶ ἁγνὸν οἱ παλαιοὶ πᾶν ὠνόμαζον». Καὶ οὕτω καταντᾷ εἰς τὸ συμπέρασμα. Ὅτι πάντων τῶν ἐν τῷ ναῷ προγραμμάτων ὄντων παραγγελμάτων, ὡς ἐκ προσώπου τοῦ Θεοῦ: οἷον τὸ ΓΝΩΘΙ ΣΑΥΤΟΝ κτλ. τὸ ΕΙ ἐτέθη ὡς ἐκ προσώπου τῶν ἐκεῖσε ἀπερχομένων καὶ προσαγορευόντων τὸν Θεὸν διὰ τοῦ δευτέρου ἑνικοῦ προσώπου τοῦ ἐνεστῶτος τῆς ὁριστικῆς ἐγκλίσεως τοῦ ὑπαρκτικοῦ ῥήματος, ὡς τῆς θεότητος μάλιστα ἐμφαινομένης ἔν τε τῷ ΕΙΝΑΙ καὶ τῷ ΑΙΕΙ ἐνεστῶτι, καὶ ταύτης οὔσης κατηγορίας ἀκροτάτης τῆς θείας φύσεως.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

§. 4. Καίτοι δὲ τῆς τελευταίας ταύτης γνώμης οὔσης ὑγιεστέρας, καὶ τόνγε νοῦν πλησιαζούσης εἰς τὴν ἀλήθειαν, οὐ μόνον δὲ, ἀλλ᾽, εἴτις καί τι πλεῖον τοῦ Πλουτάρχου βούλεται προσθῆναι, καὶ ἐμπεριεχούσης πρὸς τῷ *εἶναί* τε καὶ τῷ *ἀεὶ* ἔτι καὶ τὴν ὁμολογίαν τῆς γνώσεως αὐτοῦ, καὶ τῆς ἁπανταχοῦ παρουσίας διὰ τὸ εἶναι τὸ ῥῆμα δευτεροπροσωποῦν· ἰδοὺ μέν τοι ἐγὼ τίνα γνώμην καὶ ἑρμηνείαν προβάλλω, θαυμαστὴν, τὸ κατ᾽ ἐμὲ, τὴν ἀρχὴν, καὶ δεῖγμα τῆς εὐσεβείας τῶν οἰκοδομησάντων, ἢ καθιερωσάντων τὸν ναὸν, ἢ κἂν τῶν ἐκεῖ τὸ ΕΙ τοῦτο ἀναθέτων. Καὶ δὴ λέγω.

ά. Ὅτι τὸ ΕΙ οὐκ ἔστι μία φωνὴ ἢ συλλαβὴ, ὡς ὑπέλαβον οἱ τοῦτο ἀναγνόντες ἢ καὶ πραγματευθέντες, ἀλλὰ δύο σύμφωνα τοῦ παλαιοῦ ἀλβαφήτου διακεκριμένα.

β΄. Ὅτι ἡ ἀνάγνωσις ὠφείλει γενέσθαι ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ

ἀριστερὰ, ὡς ἀναγινώσκουσιν οἱ ἀνατολικοὶ, ὡς ἀνεγίνωσκον καὶ οἱ ἡμέτεροι ἀρχαιότατοι πατέρες (ὅρα τὴν ἡμετέραν παρεκβολὴν εἰς τὸ Ἀλφάβητον), καὶ ὡς ἀποδεικνῦμεν §. 22.

γ'. Ὅτι ἐν αὐτῷ τῷ ΕΙ ζητητέον αὐτοτελῆ τινα, ὡς λέγει ὁ Πλούταρχος (§. 4. ς'.) προσαγόρευσιν καὶ προσφώνησιν τοῦ Θεοῦ. « Καὶ ἐςιν, ὡς ἐβεβαίουν καὶ οἱ Δελφοὶ (παρὰ τῷ αὐτῷ Πλουτάρχῳ αὐτ. ) τὴν κοινὴν καὶ περιηγητικὴν δόξαν εἰς τὸ μέσον προάγοντες, οὔτε τὴν ὄψιν ἀξιοῦντες, οὔτε τὸν φθόγγον, ἀλλὰ τοὔνομα μόνον τοῦ γράμματος ἔχειν τι σύμβολον· ἔστι γὰρ, ὡς ὑπολαμβάνουσι Δελφοὶ, καίτε προηγορῶν ἔλεγε Νίκανδρος ὁ ἱερεὺς, σχῆμα καὶ μορφὴ τῆς πρὸς τὸν Θεὸν ἐντεύξεως. »

δ'. Ὅτι τοιαύτη ἐπιγραφὴ εἰς ἄλλον ναὸν οὐκ ἐγένετο.

§. 5. Τούτων οὖν οὕτω προτεθέντων λέγω, ὅτι τὸ ΕΙ ἔστιν ὄνομα τοῦ ἀληθινοῦ Θεοῦ, ὃν προσεκύνησαν οἱ Πατριάρχαι πρὸ τοῦ Μωσέως, καὶ μετ' αὐτὸν μέχρι τῆς ἐλεύσεως τοῦ Ἰησοῦ Χριστοῦ, καὶ εἰς ὃν δοκεῖ ἀνεγηγερμένος ὁ ναὸς πρὸ τοῦ Μωϋσέως, ἴσως δὲ καὶ πρὸ τοῦ Ἀβραάμ· οὗτος δ' ἐστὶν ὁ ΠΥ[illegible]ΙΑ, ᾧ καὶ ἡμεῖς λατρεύομεν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

§. 6. Εἴτις οὖν, εἰς Ἑλληνικὰς εὐαρεςούμενος ἑρμηνείας, πλὴν τῶν παρὰ Πλουτάρχῳ, προσθήσει καὶ τὸ, *αὐτὸς μόνος*, ὡς τοῦ μὲν, Ἴος τὸ, μόνος, διὰ τοῦ Ι ἐμφαινομένου, καθὼς φαίνεται κἀν τῇ ἀρχαίᾳ ἀριθμήσει· (ὅρα ἡμ. Παρεκβολ. Εἰς τὸ Ἀλφ. Δύναμ. ἀριθμ. ἀλφαβ.), τοῦ δὲ, Αὐτὸς διὰ τοῦ Ε, τῆς προσωπικῆς ὑποστάσεως ὄντος συμβόλου, καὶ ταῖς ταὐτοπροσωπικαῖς ἀντωνυμίαις συναπτομένου, καὶ βάσεως ὄντος τῆς προσωπικῆς, ἴσως δὲ καὶ πασῶν τῶν ἀντωνυμιῶν: οἷον Ἐγώ. (Ἐ) σύ. Ἐκεῖνος. (Ἐ) *τοῦτος*, ἡ ἰδέα αὕτη οὐ μόνον θεοπρεπὴς καὶ ὑγιαινούσης διδασκαλίας πλήρης, ἀλλὰ καὶ σοφῶν ἀνδρῶν ἀναγκαῖον καὶ σωτήριον ἄκος κατὰ τῆς τότε πολυθεΐας, καὶ εἴη ἂν τὸ μέγιστον καὶ ἱερώτατον τοῦ Πυθίου ναοῦ λόγιον. Ἀλλ' ἐγὼ ἀνενδοιάστως πρεσβεύων τὴν ἐπιγραφὴν ΕΙ εἶναι ὄνομα τοῦ ἀληθινοῦ Θεοῦ· ἰδοὺ ἐκ τίνων διδομένων πιθανολογοῦμαι τὴν πρότασιν.

§. 7. Πρῶτον· ὅτι ἐν τῇ ἀρχαίᾳ γραφῇ τὸ ΕΙ ἰσοδυναμεῖ πάντως

τῷ Ἑβραϊκῷ יה, ἢ καὶ τοῖς ἀρχαίοις Σαμαρειτικοῖς γράμμασι [Σχ. 1.] (*) τὸ γὰρ Ι ἐςι τὸ י τὸ δὲ Ε τὸ ה καὶ ἐν τῇ τάξει τῶν γραμμάτων καὶ ἐν τῇ ἀριθμήσει· διὸ πάντως τὸ ὄνομα τοῦ ἀληθινοῦ Θεοῦ יה ὡς ἀναφέρεται ἐν τῇ θείᾳ Γραφῇ, μεταγραφόμενον τοῖς ἀρχαίοις Ἑλληνικοῖς γράμμασιν ἐγράφη ἂν ΕΙ, μηδόλως ἀντιβαινούσης τῆς παλινόρσου διευθύνσεως τοῦ Ε, ὡς ἐν τῇ ῥηθείσῃ παρεκβολῇ διὰ μακρῶν δέδεικταί τε καὶ παρεδειγματίσθη ἐκ τοῦ νομίσματος τῶν Ἐρεσίων [Σχ. 2.] (**Montfaucon. Palæograph. Græc. p. 144**).

Δεύτερον· ὅτι τοιαύτη ἐπιγραφὴ εἰς οὐδένα τῶν Ἑλληνικῶν εὑρίσκετο ναῶν· πάντως γὰρ ὁ Πλούταρχος ἀνέφερεν ἂν αὐτὴν εἰς τὰς μακρὰς αὐτοῦ ἑρμηνείας· ἐν ᾧ τὸ יה, καὶ Ἑλληνιστὶ ἢ Φοινικιστὶ ΕΙ εἴςτε τὸν Ναὸν τοῦ Σολομῶντος πιθανῶς, καὶ εἰς τὰς σημερινὰς συναγωγὰς ἐπιπρέπει· ἔτι δὲ καὶ οἱ ἑσπέριοι χριστιανοὶ περιττότητα κόσμου συμβολικοῦ διώκοντες εἰς τοὺς θείους ναοὺς, ἐπιγράφουσιν ἐν τριγώνῳ ταῦτα τὰ δύο Ἑβραϊκὰ στοιχεῖα יה, ἢ τὸ τετραγράμματον αὐτὸ (§. 2?) יהוה. Οὐ μόνον δὲ ἀλλὰ καὶ οἱ Μοχαμεθανοὶ, μάλιςα οἱ Ἀραβιστὶ κοινῶς Δερουΐσιδες ὀνομαζόμενοι, ἔν τε ταῖς πρὸς ἀλλήλους συντυχίαις καὶ ταῖς προσευχαῖς κοινοτάτην ἔχουσι τὴν προσφώνησιν ياهو ἢ هو ὦ *οὗτος*, ἐννοοῦντες μὲν τὸν μόνον ἀληθῆ Θεὸν, ὃν προσεκύνησαν οἱ Πατριάρχαι καὶ οἱ Προφῆται, κάλλιστον δὲ καὶ σεμνότατον πρόγραμμα ἔν τε τοῖς τεμένοις καὶ τοῖς ἐπιφανεστέροις τόποις αὐτῶν ἐπιγράφοντες ποικίλοις καὶ συμπεπλεγμένοις καὶ μεγάλοις τοῖς γράμμασι τὸ ياهو ἢ τὸ يهو καὶ δὴ καὶ τὸ و μόνον, περὶ οὗ ἐν τοῖς ὕστερον (§. 25)· οὐμὴν δ' ἀλλὰ καὶ ἐπὶ πάσης γραφῆς ἢ πιττακίου, ἢ οἱουδήποτε ἐπιστολιμαίου ἢ καὶ συμβολαίου ἐπιγράφεται ἀπαραιτήτως τὸ هو· τοῦτο

---

(*) Ἀπορεῖ ὁ Μοντεφαλκώνιος (**Palæograph. Græca. pag. 144**) πῶς μετέπεσε τὸ ἀρχαῖον σχῆμα τοῦ Ἰῶτα εἰς τὸ σημερινόν· ἤτοι τὸ [Σχ. 3.] εἰς τὸ Ι. Ἀλλ' ἐγὼ πλὴν τῆς πλαγιότητος καὶ τῆς ἐπανορθώσεως, ὃ δὴ καὶ ἐν τοῖς πλείστοις τῶν γραμμάτων οἷον τὸ ϑ. τὸ Π. τὸ Λ. τὸ Ξ. ὁρᾶται κτλ. οὐδὲν εὑρίσκω τὸ ξένον· ἐπὶ γὰρ ὁριζοντείου γραμμῆς ה τρεῖς γραμμαὶ ἐπεκτανθεῖσαι ὁρῶνται οἷον Ǝ καὶ ἀκολούθως ⊥.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

δὲ τὸ ياهو οὐχ ἕτερόν τι, ἢ αὐτὸ τὸ יָה ἐστιν, ἢ καὶ γράμμασιν Ἑλληνικοῖς ΕΙ.

§. 8. Τρίτον· ὅτι ὁ ἐν Δελφοῖς ναὸς ἀνέκαθεν ἀγνώστῳ Θεῷ καθιέρωτο, διὸ καὶ ἤλλαξε πολλαχῇ τὸ ὄνομα τοῦ ναούχου Θεοῦ (ὅρα ἐκτεταμένα ταῦτα ἔντε Παυσανίου Β. Ι ἢ Φωκικοῖς, καὶ Στράβωνος βιβ. θ΄. καὶ δὴ καὶ **Jacobi Palmerii Græciæ antiquæ descriptio**· ἤτοι Ἰακ. Παλμερίου ἀρχ. Ἑλλάδ. Περιγραφήν· καὶ ἅπαν μὲν τὸ Δ΄. Βιβλ. ἰδίως δὲ τὸ ὄγδοον κεφάλαιον. Καὶ **Julii Cæsaris Bulangerii de Oraculis et Vatibus** « Περὶ Μαντείων καὶ Μάντεων κεφ. δ΄.) Λέγεται γὰρ πρῶτον μὲν εἰς Ποσειδῶνα, εἶτα εἰς Κρόνον, εἶτα εἰς Γῆν, μετὰ ταῦτα εἰς Θέμιδα καὶ τέλος εἰς Ἀπόλλωνα, εἰς ὃν καὶ διαιωνίζον ἐτέλεσεν ἱερὸν τὸ μαντεῖον, οὐχ ἧττον μετέχοντος καὶ τοῦ Διονύσου (§. 12 καὶ 13). Ἀλλ᾽ οὐδὲ εἴκασμα ἢ εἴδωλον τοῦ ναούχου θεοῦ ἐνευρίσκετο ἀρχῆθεν, ἀλλ᾽ ἁπλοῦς ἀργὸς λίθος· ὁ γὰρ ἱερὸς Κλήμης (Στρωμ. Α. κδ΄.) λέγει « Ὁ τὴν Εὐρωπίαν ποιήσας (Εὔμελος παρ᾽ Εὐσεβ. Χρον. Ὀλυμ. Γ΄.) ἱστορεῖ τὸ ἐν Δελφοῖς ἄγαλμα Ἀπόλλωνος κίονα εἶναι. » Τοιοῦτον δὲ λίθον ἀργὸν ἔπηξε καὶ ὁ Ἰακὼβ (Γεν. λε΄. 14) καὶ μέχρι τῆς σήμερον οἱ Μωχαμεδανοί, ἔθνος

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ὁμολογουμένως μονόθεον, ἰσῶσι λίθον ἀργὸν حجر εἰς ὃν καὶ στρέφουσι προσευχόμενοι. Ὅθεν εἰκάζω διὰ τὸ εἶναι τὴν ἐπιγραφὴν ΕΙ ἢ καὶ יָה « *ἐν προεδρείᾳ* » παρὰ τῷ θεῷ (§. 2) καὶ ἀρχαιοτάτην, καὶ ὡς λέγεται πάντων τῶν σοφῶν ὁμοῦ ἀνάθημα (§. 3), εἰς τὸν ἀληθῆ Θεὸν καθιερωμένον προτίστως τὸν ναόν, ἡ δὲ θεία αὕτη ἰδέα τοῦ ἀγνώστου Θεοῦ ἀπεπνίγη μὲν χρόνῳ εἰς τὰς ἐθνικὰς εἰκονικὰς ὑποτυπώσεις τῆς Θεότητος, διεσώθη δ᾽ ὅμως ὁπῶς ποτε ἐν Ἀθήναις, ὅπου καὶ βωμὸς καθιέρωτο τῷ *Ἀγνώστῳ Θεῷ*· ἐξ οὗπερ καὶ τὸ εἰς τὰ ἔθνη κήρυγμα ἤρξατο ὁ μακάριος Παῦλος « Διερχόμενος γὰρ καὶ ἀναθεωρῶν τὰ σεβάσματα ὑμῶν εὗρον καὶ βωμόν, ἐν ᾧ ἐπεγέγραπτο *Ἀγνώστῳ Θεῷ*· ὃν οὖν ἀγνοοῦντες εὐσεβεῖτε, τοῦτον ἐγὼ καταγγέλλω ὑμῖν » (Πράξ. ιζ. 23). Πείθει δέ με τὸν ἄγνωστον τοῦτον τῶν Ἀθηναίων Θεόν, ὃν ἐμαρτύρησε καὶ κατήγγειλεν ὁ Παῦλος ἐνώπιον τοῦ Ἀρεοπαγιτικοῦ Κριτηρίου, εἶναι αὐτὸν τὸν ΕΙ τὸν ἐν Δελφοῖς, ἢ τὸν יָה τὸν ἐν Ἱεροσολύμοις, καὶ τὸν ياهو τῶν ἀνατολι-

κῶν, ὅτι καὶ τὸ χαλκοῦν ΕΙ τὸ ἀρχαίτερον, Ἀθηναίων ἦν ἀφιέρωμα, (§. 3) Ἰώνων ἢ Ἰαόνων ὄντων τὴν ἀρχὴν, καὶ ἀπογόνων Ἴωνος ἢ Ἰάονος. Τῷ ὄντι δὲ ὁ יה ἢ ὁ ΕΙ ἄγνωστός ἐςιν, ὡς μὴ κυριωνυμούμενος, ἀλλὰ δηλούμενος διὰ τοῦ *αὐτὸς* ἢ διὰ τοῦ ἀντωνυμικοῦ Ε ἢ διὰ τοῦ הוא ἢ τοῦ هو ἅπερ οὐδὲν πλέον, ἢ τὸ *αὐτὸς* ἢ *ἐκεῖνος* σημαίνουσι.

§. 9. Τέταρτον· ὅτι οἱ Ἴωνες καὶ Ἰάονες λέγονται ἀπὸ Ἴωνος ἢ Ἰάονος υἱοῦ Ἀπόλλωνος καὶ Κρεούσης θυγατρὸς Ἐρυχθέως βασιλέως Ἀθηνῶν. Οὗτος γὰρ κρύφιος γεννηθεὶς καὶ ἐκτεθεὶς, καὶ δὴ χρόνῳ ἐν τῷ ναῷ τῷ ἐν Δελφοῖς, ὅπου ἀνετράφη ἄγνωστος, ἱερατεύων, ἐπειδὴ ἀπήντα πρῶτος *ἰόντα* ἐκ τοῦ ναοῦ Ξοῦθον τὸν ἄνδρα Κρεούσης, λαβόντα ἤδη χρησμὸν διὰ τὴν ἑαυτοῦ ἀτεκνίαν, ὅπως τὸν πρῶτον ἀπαντήσαντα « αὐτῷ *ἰόντι* ἐκ τοῦ ναοῦ » υἱὸν παραλάβῃ, υἱοθετεῖται μετονομασθεὶς Ἴων ἢ Ἰάων. Ἀλλ᾽ οὐ μᾶλλον ἐκ τοῦ *Ἴημι* δοξάζω τὴν παραγωγὴν, ὡς ἡ μυθολογία παραδίδωσιν, ἢ ἐκ τοῦ ΙΑ τοῦ ὀνόματος τοῦ ἐκεῖ κρυφίως λατρευομένου, ἀγνώστου Θεοῦ, οὗ λειτουργὸς ἦν, καὶ ὅθεν ἐκλήθη, Ἰάων μετονομασθεὶς (§. 22)· ἐξ οὗ τὸ εἰς ἔπειτα περικλεὲς ὄνομα τῶν Ἰαόνων, ἢ Ἰώνων.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σημείωσις. Οὐ λανθάνει με ἡ γνώμη τινῶν εἰδημόνων τῆς ἀρχαιότητος, καὶ μάλιστα ἡ τοῦ περικλεοῦς Βοχάρτου, τοὺς Ἴωνας οὕτω κληθῆναι ἀπὸ יון Ἰαυὰν ἐγγόνου τοῦ Νῶε, οὐδ᾽ ἀπίθανος ἡ γνώμη, εἰ καὶ πλὴν τῆς εἰκασίας καὶ τῆς ὁμοιότητος τοῦ ὀνόματος οὐδεμίαν ἄλλην ἔχομεν ἐπ᾽ αὐτὸ πιθανολογίαν· οὐ μόνον δὲ ἀλλὰ καὶ ἀντιπίπτοντα τὰ ἑξῆς.

ά. Ὅτι ἡ Γραφὴ ῥητῶς λέγει μετοικισθέντας τοὺς περὶ Ἰαυὰν εἰς νήσους, ἐν ᾧ ἡ ἡμετέρα μυθολογία καὶ ἱστορία θέλει τοὺς Ἴωνας κατ᾽ ἀρχὰς στερεοελλαδίτας.

β΄. Ὅτι οἱ μετονομασθέντες καὶ συναφθέντες εἰς τὸ μετὰ ταῦτα ὑπὸ τὸ ὄνομα Ἴωνες πρότερον ἔσχον ὀνόματα διάφορα κατὰ φυλὰς, καίτοι εἴπερ ὠνομάζοντο ἀπὸ τοῦ יון ἸαναΝ, τὸ ὄνομα *Ἴωνες* ἔδει εἶναι ἀρχαιότερον τοῦ τῶν φυλῶν, εἰμὴ εἴποις χρόνῳ τὸ ὄνομα ὑπερνενικηκέναι.

γ΄. Ὅτι, ἐπειδὴ ἡ Γραφὴ λέγει κατοικήσαντας αὐτοὺς νήσους, καὶ

ἐπειδὴ ἐξ ἀμνημονεύτων αἰώνων ἔχομεν καὶ Ἰονίους νήσους, καὶ πέλαγος Ἰόνιον, εἰκοτολογοῦμεν ἐκεῖπου οἰκῆσαι τοὺς ἀπογόνους Ἰαυάν· μάλιστα, διότι ἐν τῷ Ἰουδαϊκῷ κειμένῳ μεταξὺ τῶν μετοικησάντων φέρεται καὶ τὸ ὄνομα דֹּדָנִים, ἐξ οὗπερ ἂν ἐπιθανολογεῖτο καὶ ἡ Δοδώνη κειμένη εἰς τὴν ἀπέναντι τῶν Ἰονίων νήσων ἤπειρον (εἰ καὶ ἐν τῇ τῶν Ο΄ μεταφράσει *Ῥόδιοι* φέρεται, ὡς τὸ πρῶτον ד, ר ἀναγνωσάντων, ἤγουν רֹדָנִים καὶ πάντως αὕτη ἐςὶν ἡ ἀληθὴς ἀνάγνωσις, ὅτι καὶ ἐν τῷ Α. Παραλειπομένων (ά. 7) ἐπαναλαμβάνεται Ῥόδιοι· ὅπου καὶ τὸ Ἑβραϊκὸν רֹדָנִים, ἤτοι Ῥόδιοι φέρει· ὥστε τὸ πρῶτόν ἐστιν ἓν τῶν πολλῶν εὐεξελέγκτων ἁμαρτημάτων τῆς Μασώρας, (οἷα ἡμεῖς καὶ ἐν τῷ ἡμετέρῳ Γεύματι, καὶ ἐν τῷ περὶ Ἰσσάχαρ φιλοπονήματι ἐσημειώσαμεν). Καὶ τεθέντος τούτου, οὐδεμίαν ἔχομεν μεταγενεστέραν εἴδησιν, ἐκ τῶν Ἰονίων ἐπονομασθῆναι τοὺς Ἴωνας.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

δ΄. Ὅτι οἱ μῦθοι τὴν Ἰώ, τὴν ἐπονομάσασαν καὶ τὸ Ἰόνιον Πέλαγος κατὰ τὸν Αἰσχύλον ἐν τῷ Προμηθεῖ

> Χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχός,
> Σαφῶς ἐπίστασ᾽, Ἰόνιος κεκλήσεται
> Τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσι βροτοῖς.

λέγουσι γεγονέναι θυγατέρα τοῦ Ἰνάχου. Καὶ ἡ Γραφὴ λέγει יָוָן Ἰαυὰν ἔγγονον τοῦ Νῶε נֹחַ Νοχὰ, ὅπερ ἐκφερόμενον διὰ τοῦ ال ἀραβικοῦ النّح Ἐννοχᾶ ἢ κατὰ συρικὴν προφορὰν Ἰννοχὰ φωνὴν πλησιεστάτην εἰς τὴν, Ἴναχον.

έ. Ὅτι καὶ ἡ δυσκολία τοῦ μυθολογεῖσθαι τὴν Ἰὼ γυναῖκα ὑπὸ τὸ σχῆμα βοὸς περιφερομένης, ἄν τις ἐνθυμηθῇ τὰ κατὰ τὴν Ἀργὼ, ἢ ἐκ τοῦ ναυπηγήσαντος αὐτὴν Ἄργου, ἢ ὡς ἀναφέρει ὁ Κικέρων ἐν τῷ Ζ. τῶν Τουσκουλάνων, ἐκ τῶν ἐμβάντων ἐν αὐτῇ ἐπιλέκτων Ἀργείων: ἤγουν Ἑλλήνων, εὐκόλως λύεται· πλοῖον γὰρ παράσημον

ἔχον τὴν βοῦν ἱερογλυφικῶς σημαίνουσαν τὸν יה διὰ τὸ καλεῖσθαι παρ᾽ Αἰγυπτίοις τὴν βοῦν ἰὼν, καὶ περιερχόμενον χάριν ἐμπορείας ἢ μετοικήσεως τοῦ יון Ἰαυὰν, ὠνομάσθη Ἰώ.

ς'. Τελευταῖον· ὅτι ἡ Ἑλληνικὴ παράδοσις καὶ μυθολογία λέγει ῥητῶς τοὺς Ἴωνας ἀπὸ τοῦ Ἴωνος, τὸν δὲ, ἀπὸ τοῦ εἰλῆφθαι *Ἰόντα* ἐκ τοῦ ναοῦ, μὴ ὄντος αὐτῷ τούτου ἰδίου ὀνόματος πρότερον. Καὶ οἱ χρόνοι δὲ τῆς ἐπωνυμίας ταύτης πολὺ μεταγενέστεροι δοκοῦσι τῶν τῆς Ἰοῦς, ἐν ᾧ οἱ αὐτῆς προτεροῦσί πως περίπου 400 καὶ πλέον τῶν τοῦ Ἴωνος.

ζ'. Οὔτε τὸ τὸν Ἰαπετὸν, τὸν αὐτὸν ὄντα πως τῷ Ἰεφθάε, πατρὶ Ἰαυὰν, ἀρχιγενέτην ὑμνεῖσθαι τῶν Ἑλλήνων συγχέει τὰς παρούσας σκέψεις· αὐτὸς γὰρ οὕτως ὑμνεῖται, ὡς πρῶτος οἰκήσας, ἢ τῶν ἀπογόνων αὐτοῦ οἰκησάντων ταῦτα τὰ μέρη, καὶ οὐδὲν πλέον.

§. 10. Πέμπτον· ὅτι τὸ θεῖον ὄνομα ΕΙ ἢ יה ἸαΧ ἦν πασίγνωςον καθ᾽ Ἑλλάδα, ἢ Θεῖον ὄνομα, ὡς ἀνέκαθεν ἡμῖν ἐκ τῶν ἀνατολικῶν μερῶν μετενεχθέν. Εἰκάζω δὲ τοῦτο μάλιστα ἔκτε τοῦ ὀνόματος Ἴακχος καὶ τοῦ Βάκχος· ἅπερ ὡς ἀποδίδονται εἰς τὸν αὐτὸν Διόνυσον, οὕτω καὶ κατ᾽ οὐδὲν διαφέρουσιν, εἰ μὴ καθ᾽ ὃ τὸ δεύτερον αὐτῶν συνῆπται τῷ τῶν ἀνατολικῶν ב ἢ ب ἢ νὴ τὴν ἀλήθειαν τῷ و ὁρκωτικὴν ἢ συλληπτικὴν ἔχουσι δύναμιν, καὶ ἄχρι τῆς σήμερον ταῖς θείαις ἐπισυναπτομένοις προσαγορεύσεσιν οἷον بالله καὶ والله, οὕτω καὶ בה καὶ יה ὅθεν καὶ τὸ Βάκχος, ὥσπερ ἐκ τοῦ יה τὸ Ἴακχος καὶ διὰ τὸ דגש ὁ διπλασιασμὸς κχ. Τοιαύτην τοῦ و ἢ τοῦ ب συναφὴν πρὸς τὸ θεῖον ὄνομα ἐτήρησαν καὶ οἱ Λατῖνοι λέγοντες Vejovis καὶ Vedius κτλ.

§. 11. Ὅτι καὶ παρὰ Πλουτάρχῳ τοιαύτη τις ἰδέα προβέβληται· «ἐὰν οὖν ἔρηταί τις· τί ταῦτα πρὸς τὸν Ἀπόλλωνα; φήσομεν· οὐχὶ μόνον, ἀλλὰ καὶ πρὸς τὸν Διόνυσον, ᾧ τῶν Δελφῶν οὐδὲ ἧττον ἢ τῷ Ἀπόλλωνι μέτεςιν.» Ὥστε τὸ ἐν Δελφοῖς Θεῖον καὶ Διόνυσος ἢ Ἴακχος ἂν ὀνομασθείη, ὡς τῷ ὄντι διὰ μακρῶν καὶ ὁ Μακρόβιος ἀναφέρει Nam Aristoteles etc. etc. ἤτοι « Ὁ γὰρ Ἀριστοτέλης ὁ τὰ θεο-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

λογούμενα συγγεγραφὼς Ἀπόλλωνα τὸν αὐτὸν Θεὸν εἶναι καὶ Διόνυσον διὰ πολλῶν ἐπιχειρημάτων βεβαιοῖ . . . ὁμοίως δὲ καὶ οἱ Βοιωτοὶ, οἱ τὸν Παρνασὸν ἱερὸν τῷ Ἀπόλλωνι λέγοντες, ὁμοῦ τό,τε δελφικὸν μαντεῖον καὶ τὰ βακχικὰ ἄντρα ἑνὶ καὶ τῷ αὐτῷ Θεῷ ἱερὰ τιμῶσι· διὸ καὶ ἐπὶ τὸ αὐτὸ ὄρος τελοῦσι τῷ τε Ἀπόλλωνι καὶ Διονύσῳ (Aurel. Macrobii Saturn. L. 1. C. XVIIJ.). Οὕτω καὶ ὁ Λουκανός (Farsal. V. 71).

Hesperio tantum quantum semotus Eoô
Cardine, Parnassus gemino petit Æthera colle,
Mons Phæbo Bromioque sacer, cui numine mixto
Delphica Thebanæ referunt trieterica Bacchæ.

Ὅσον μακρὰν ἑσπερίου, τοσοῦτο μακρὰν καὶ Ἑῴου
Ἄκρου, 'ς αἰθέρ' ὑψηλὰ Παρνασὸς αἰωρεῖται διζύγως,
Ἅγιος Φοίβῳ Βρομίῳ τ', εἰς ὧν τὴν θεότητα μίγδην
Ὄργια Βάκχαι θηβαῖαι τελοῦν δελφικὰ τριετῆ.

Σημείωσις. Πλὴν τῆς τοῦ Πλουτάρχου καὶ Μακροβίου μαρτυρίας καὶ δὴ καὶ τοῦ Λουκανοῦ, ὅτι ὁ Διόνυσος μετέχει τῶν ἐν Δελφοῖς, καὶ ἰδίαν ἔχω τήρησιν τὴν ἑξῆς. Ὁ γὰρ Ἀπόλλων λέγεται καὶ Πύθιος, καθὰ οἱ συγγραφεῖς σημειοῦσι, τυχὸν μὲν διὰ τὸ Πύθωνα τὸν δράκοντα κτεῖναι· πιθανοτάτως δ' ὅμως ἐκ τοῦ ἀρχαίου ῥήματος πύθω ὅθεν τὸ πυνθάνομαι: οἶδα ἐρωτήσας, ἢ ἐρωτῶ εἰδέναι καὶ γνῶναι: μαντεύομαι· ὅθεν λέγεται καὶ Πυθία, καὶ Πυθόμαντις καὶ δὴ καὶ πνεῦμα Πύθωνος. Διὸ τὸ ἐν τῇ Γραφῇ ( Λευϊτ. κ'. 27. )

ואיש או אישה כי יהיה בהם אוב או יעדני מות יומתו

εἰ καὶ οἱ Ο' μετέφρασαν « Καὶ ἀνὴρ ἢ γυνὴ, ὃς ἂν γένηται αὐτῶν ἐγγαστρίμυθος ἢ ἐπαοιδὸς, θανάτῳ θανατούσθωσαν ἀμφότεροι »· ὁ Ἱερώνυμος ὅμως λεκτικώτερον vir sive mulier, μεταφράζει, in quibus Pythonicus vel divinationis fuerit Spiritus morte moriantur «Ἀνὴρ ἢ γυνὴ, οἷς ἂν πυθωνικὸν, ἢ μαντικὸν γένηται πνεῦμα, θανάτῳ θανατούσθωσαν». Καὶ παρ' αὐτοῖς δὲ τοῖς Ο'. τὸ ἐν τῷ τῆς Α'. Βασιλ. κη'. 3. שאול הסיר את האבות ואת הידענים מהארץ μετε-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

φράσθη· «Καὶ Σαοὺλ περιεῖλε τοὺς ἐγγαστριμύθους καὶ τοὺς *γνώστας* ἀπὸ τῆς γῆς». Ἀλλὰ τίς οὐχ ὁρᾷ τὸ יִדְּעֹנִי καὶ γράμμασιν Ἑλληνικοῖς ΙΔΟΥΝ (ὁ πολλά τε καὶ ἀκριβῆ εἰδὼς, ἢ εἰδέναι ποιῶν) ὁ *γνώστης*, εἶναι ὁμώνυμον τῷ ΔιΟΝυσος μεταπλασθέντι ἐκ Περσικῆς καταλήξεως دانش ΔιΑΝΥΣ, σημαίνοντος γνώστην, καὶ ἄχρι τῆς σήμερον ὄντος καὶ κυρίου ὀνόματος παρὰ τοῖς ἀνατολικοῖς; Τὴν τοιαύτην τοῦ Διονύσου σημασίαν καὶ οἱ ἀρχαῖοι ἐγίγνωσκον, εἰπόντες ἐκ παραλλήλου (παρ' Εὐσεβ. Προπαρ. Εὐαγ. Α. θ'.),

Τοὔνεκά μιν καλέουσι *Φάνητά* τε καὶ *Διόνυσον*.

ἔτι δὲ καὶ ἐν τῇ Καροτουρκικῇ دانش ΔΑΝιΣ πεῦσιν σημαίνει.

Ἄλλως πάλιν δοκεῖ χορούς τινας καὶ ὀρχήσεις τῶν Μάγων (θρησκευτικὰς, ἃς ἀναφέρει καὶ ὁ Ἀῤῥιανὸς ἐν τοῖς Ἰνδικοῖς κεφ. ζ'.) παρ' Ἰνδοῖς دعكسه (ὅρα Λεξ. Ἀραβ. Καμούς ἐν λέξ.) ΔιΟΚΝιΣΕ οἱονεὶ Διονύσια, ἢ ὄργια (ἤτοι ὄρχια ἐκ τοῦ ὀρχοῦμαι), μεταπλασθείσης τῆς λέξεως ἰνδικώτερον ἢ ἀραβικώτερον, καλεῖσθαι· καὶ οὕτως ἐν τῷ Πυθίῳ ἢ Διονυσίῳ τοῖς συνωνύμοις ταὐτιζόμενον ὁρῶμεν τὸν Ἀπόλλωνα καὶ τὸν Βάκχον ἢ Ἴακχον.

12. Ἕβδομον καὶ τελευταῖον· ὅτι ὡς παρὰ τοῖς ἀνατολικοῖς τὸ ياهو (Ιαχοὺ) ἐπιφώνημα χαρᾶς τε καὶ ἐντεύξεως, οὕτω καὶ παρ' Ἕλλησι τὸ Ἴακχε, ὅθεν καὶ ἡ τοιάδε φωνὴ Ἰαχὴ, καὶ ῥῆμα ἀρχαῖον Ἴαχον, καὶ δὴ καὶ παρὰ τῷ ἡμετέρῳ ὄχλῳ ἔστιν ἀκοῦσαι κοινὸν χαρᾶς ἐπιφώνημα Ἴηχου.

§. 13. Ἐκ τῶν προηγηθεισῶν τοίνυν σκέψεων πείθομαι καὶ πιστεύω ἀδιστάκτως, τὸ ἐν Δελφοῖς ΕΙ, ὃν ταὐτὸν τῷ Ἑβραϊκῷ יה, σημαίνειν τὸ ὄνομα τοῦ ἀληθινοῦ Θεοῦ, ὃν προσκυνοῦμεν, καὶ εἰς ὃν δοκεῖ ἀνέκαθεν ἀφιερωθεὶς ὁ ἐκεῖ Ναὸς, ἴσως πρὸ τοῦ Μωσέως (§. 32). Ὅτι δὲ τὸ יה ἀπεδίδετο εἰς τὸν Διόνυσον, ὡς εἰς Θεὸν, πρόδηλον γίγνεται καὶ ἐκ τοῦ ἐπωνύμου ΕΙΡΑΦΙΩΤης· ὅπερ οἵτε ἀρχαῖοι καὶ νέοι κριτικοὶ καὶ λεξικογράφοι ἀναφέρουσι μὲν εἰς αὐτὸν, γελοίαν δέ τινα ποιοῦσι παραγωγὴν, οἷον ὁ Εὐστάθιος (παρὰ Διονυσίῳ τῷ Περιηγητῇ στίχ. 1153.) ἐκ τοῦ ἐῤῥάφθαι ἐν τῷ μηρῷ τοῦ Διὸς» ἢ καὶ «παρὰ τοῦ Ἔριν φαίνειν, ὡς τοῦ οἴνου αἰτίας γινομέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

νου διενέξεων» κτλ. Ἐνταῦθα γὰρ τὸ ΕΙ θειασμός ἐστιν, ἢ ἐπιφώνημα τοῦ Θεοῦ, τὸ δὲ ΡαΦΙΩΤ καὶ Ἑβραϊκοῖς τοῖς γράμμασι רפאות σημαίνει ἀκριβῶς *ὑγείαν* ἢ *ῥῶσιν* κατὰ πληθυντικὸν τύπον· ὥστε εἶναι τὴν λέξιν πᾶσαν ἀμετάβλητον βαρβαρικὸν θειασμὸν ΙαΧου Ῥαφιῶτ· καὶ μεταφραζόμενον «ὦ Θεὲ, ὑγείαν» ὡς ἐθίζουσιν ἐπιγράφειν καὶ οἱ ἀνατολικοὶ ἐπὶ τοὺς οἴκους αὐτῶν شفاعت ياحبيب الله «ὑγείαν (δίδου), ὦ ἠγαπημένε τοῦ Θεοῦ». Ὅτι δὲ ἡ Ἑβραϊκὴ λέξις רפא ΡαΦΑ ἢ ΡαΠΑ, ἡ σημαίνουσα ὑγείαν, ἦν γνωστὴ ἀνέκαθεν ἐν τῇ Ἑλλάδι, σημαινομένη διὰ τοῦ συμβόλου ῬάΠανον ἢ Ῥάφανον πρόδηλον γίγνεται καὶ ἐκ τοῦ δημοτικῶς λεγομένου· «γερὸς ὡς ἂν Ῥεπάνι»· δηλονότι *αὐτόχρημα ὑγεία*. Κἀκ τούτου εἰκάζω τὴν τοσαύτην ὑπόληψιν τῆς ῥαφανίδος περὶ ὑγείας· ὥςε ἔχουσι καὶ ῥητόν· εἰ καὶ μὴ τρώγεις αὐτὸ, ἀλλὰ κἂν διάβηθι πλησίον τοῦ χωρίου, ὅπου κηπεύεται. Τοῦτο μὴ νοήσας Πλίνιος ὁ Πρεσβύτερος, πολυΐστωρ μὲν ἀνὴρ, ἀλλ' ἄμοιρος κρίσεως καὶ πάντη ἀνιστόρητος ἱερογλυφικῆς ἐκφράσεως, καὶ ἀγόμενος ὑπὸ πάθους, ὡς καὶ ἅπαντες μικροῦ δεῖν οἱ Ῥωμαῖοι, κατὰ τῶν Ἑλλήνων, ἔλαθε προδοὺς τὴν παχυλὴν ἀμάθειαν αὐτοῦ· λέγει γὰρ (Natur. Histor. XIX. C. V.) Atque, ut est Græca vanitas, fertur in templo Apollinis Delphis adeo cæteris cibis prælatus rhaphanus, ut ex auro dicaretur, beta ex argento, rapum e plumbo. «Καὶ δὴ κατάγε τὴν τῶν Ἑλλήνων ματαιότητα λέγεται, ἐν τῷ Δελφικῷ τοῦ Ἀπόλλωνος ναῷ, οὕτω προέχειν τῶν λοιπῶν βρωμάτων τὴν ῥαφανίδα, ὡς καὶ χρυσῆν μὲν αὐτὴν, ἀργυρᾶν δὲ γογγυλίδα, μολιβδίνην δὲ γογγύλην καθιερῶσθαι.» Τὸ δ' ἄρα ἦν παρακλητικὸν ὑπὲρ ὑγείας ἀνάθημα· ΕΙΡΑΦΙΩΤ. Οὕτω τὰ ἐν ταῖς ἡμετέραις Ἐκκλησίαις ἀνέκαθεν ἀπῃωρημένα ὠὰ στρουθοκαμήλου, διὰ τὴν ἄγνοιαν τοῦ σημαινομένου, ὡς ἀσήμαντος κόσμος τὴν σήμερον παντάπασιν ἤρθη.

§. 14. Καὶ κατ' εἰκασίαν δὲ δείκνυται τὸ ΕΙ μὴ εἶναι ἁπλοῦν ἀνάθημα τῶν παρ' Ἕλλησιν ἐσχάτως ἐπισήμων σοφῶν, οἷον Σόλωνος καὶ Βίαντος καὶ Χίλωνος καὶ Θάλητος καὶ Πιττακοῦ, ἀλλὰ τοῦ ἱεροῦ σημεῖόν τι ἀχώριστον· οἱ γὰρ ῥηθέντες σοφοὶ ἤκμασαν ἀπὸ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

600 — 530 περίπου Π. Χ. ἐν ᾧ τὸ ὄνομα יה ἢ ΙΑ καὶ γράμμασιν Ἑλληνικοῖς ΕΙ ἐδείχθη ἐκ τοῦ ὀνόματος ἸΑΏν (§. 9.) εἶναι ἀρχαίτατον ἤτοι περὶ τὰ 1350 Π. Χ. Ἔτι δὲ τὰ ἐπὶ Πλουτάρχου ΕΙ τό,τε ξύλινον καὶ χαλκοῦν καὶ χρυσοῦν ἦσαν τοῦ Πέμπτου Ναοῦ, τοῦ ἀνοικοδομηθέντος ἐκ βάθρων περὶ τὸ 513 πρὸ Χ. ὅτε δηλονότι οὐκέτι ἔζων οἱ σοφοὶ τῆς Ἑλλάδος, ὡς τοῦ μὲν Σόλωνος ἀποθανόντος περὶ τὸ 559. καὶ τοῦ Χίλωνος οὐ πολλῷ ὕστερον· τοῦ δὲ Θαλλοῦς περὶ τὸ 545. καὶ τῶν λοιπῶν περὶ τὸν αὐτὸν χρόνον· οὐ συνορῶ λοιπὸν διὰ τί ὁ ἀριθμὸς τῶν πέντε σοφῶν ὤφελεν ἐπαναληφθῆναι καὶ ἐν τῷ ἀνακαινισθέντι ναῷ, ἢ καὶ διὰ τί οἵτε Ἀθηναῖοι χαλκοῦν καὶ ἡ Λιβία χρυσοῦν ἀνετίθεντο τὸν πέντε ἀριθμὸν σημαίνοντα τοὺς πέντε σοφούς. Ἀλλ' ἐρεῖς τί σημαίνει ἡ φήμη τῶν σοφῶν; ὑπολαμβάνω ὅτι, ἐπειδὴ οἱ ἱερεῖς ἐγνώριζον (§. 22) τοῦ Ἑβραϊκοῦ Θεοῦ εἶναι σύμβολον τὸ יה ἢ ΕΙ, καὶ τοὺς Ἑβραίους δὲ διηνεκῶς συνέχεον τοῖς Χαλδαίοις, οὓς καὶ σοφοὺς ἰδίως ἐπωνόμαζον κατὰ τὸν παρ' Εὐσεβίῳ Προπαρ. Εὐαγ. Θ. 10 χρησμὸν

Μοῦνοι Χαλδαῖοι σοφίην λάχον, οἱ δ' ἄρ' Ἑβραῖοι,
Αὐτογένεθλον ἄνακτα σεβαζόμενοι Θεὸν ἁγνῶς.

διὰ τοῦτο σοφῶν ἐλέγετο ἁπάντων ἀνάθημα. Ἡ δὲ τῶν Ἑβραίων μετὰ τῶν Χαλδαίων σύγχυσις δηλοῦται, ὅτι πολλοὶ καὶ Ἀσσυρίους αὐτοὺς ὠνόμαζον· ὅθεν ὁ Θεμίστιος Λογ. Έ. « Ἀσσύριον λόγον » ὀνομάζει τὸ τοῦ Σολομῶντος (Παροιμ. κά. 1) « Καρδία βασιλέως ἐν χειρὶ Θεοῦ ».

§. 15. Ἀλλ' ἐπειδὴ ἐμνήσθημεν τῆς πέμπτης τοῦ Ναοῦ ἀνακαινίσεως, ἁρμόδιον κρίνομεν ἱστορῆσαι συντόμως τὰ κατὰ τὸν περίπυστον τοῦτον ναόν, ὃν ἡμεῖς μὲν μετὰ τοῦ Πλουτάρχου διὰ τὸ ΕΙ θαυμάζομεν, ἄλλοι δὲ διὰ τὴν μαντικὴν αὐτοῦ, καὶ οἱ πλείους διὰ τὰ μεγάλα ἀνέκαθεν σεσωρευμένα πλούτη, ἐφ' ᾧ καὶ *παλαιόπλουτος* ἢ ἀρχαιόπλουτος ὠνομάσθη, καὶ ὑπὸ τοῦ Ὁμήρου (Ἰλ. Ι. 404) ὑμνήθη ὡς πολυχρήματος, ἔτι καὶ κατ' ἐκείνους τοὺς χρόνους,

Οὐδ' ὅσα λάϊνος οὐδὸς Ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρηέσσῃ.

Τὴν δ' ἀρχὴν τοιόςδε τις ἐχρημάτισε (τόγε Μαντεῖον). Λέγεται γὰρ ὅτι βοσκόντων ποιμνίων εἰς Δελφοὺς (τὸ νῦν Καστρὶ) καὶ προσεγ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γισάντων τόπον, ὅπου ἔπειτα τὸ μαντεῖον, θαῦμα ὤφθη· ἐσκίρτων γὰρ τὰ ζῶα, καὶ μυρίας στροφὰς ἐποίουν, οἱονεὶ μαινόμενα, οὐ μὴν ἀλλὰ καὶ τῶν ἀνθρώπων οἱ πλησιάζοντες τὰ ἀνάλογα ἔπασχον, καὶ δὴ εἰς ἐνθουσιασμόν τε ἐρχόμενοι, καὶ πολλὰ μαντεύοντες ἐφοίβαζον· ἐτηρήθη δ' ὅμως, ὅτι καὶ οὐκ ὀλίγοι ἄνθρωποί τε καὶ ζῶα ἀπέθνησκον (δῆλον δ' ὅτι ἐν ἀσφυξίᾳ, ὡς ἐκ τῶν ἀναφερομένων ἀπὸ τοῦ τόπου μευτικῶν ἢ θανασίμων ἀναθυμιάσεων)· ἢ καὶ ἰλιγγιῶντες ἐνέπιπτον τῷ βόθρῳ, ὅθεν ἀνεπέμπετο τὸ πονηρὸν πνεῦμα. Διὸ τρίπους ἐπεστάθη περισκεπὴς ἔχων τὸ μέσον ὅλμον, ὃ δὴ καὶ ἐκαλεῖτο, ἐν ᾧ καθημένη ἡ Πυθία, ἥτις πάλαι μὲν νέα κόρη, εἶτα δὲ, δι' ἐπισυμβὰν ἄτοπόν τι, πεντηκοντοῦτις ἐξελέγετο, καὶ δεχομένη κάτωθεν τὸ πνεῦμα, ὥστε σκοτοῦσθαι μὲν καὶ παρακόπτειν μετ' ἐνθουσιασμοῦ, μὴ κινδυνεύειν δ' ἐκ τῆς ἀναπνοῆς, ἐχρησμῴδει· ὅθεν καί τις τῶν ἀρχαίων σχολιαστῶν (ὡς δοκεῖ ἐκ τῶν λόγων χριστιανὸς) λέγει περὶ αὐτῆς, ὅτι «ἐπικαθημένη τῷ τρίποδι τοῦ Ἀπόλλωνος, καὶ διαιροῦσα τὰ σκέλη, πονηρὸν κάτωθεν ἀναδιδόμενον πνεῦμα διὰ τῶν γεννητικῶν ἐδέχετο μορίων, καὶ τὰς τρίχας λύουσα, καὶ ἀφρὸν ἐκ τοῦ στόματος πέμπουσα, καὶ μαινοῦσα τὰς μαντείας, ἢ μᾶλλον μανίας ἐφθέγγετο». Τοιαύτη ἐστὶ καὶ ἡ τοῦ Λουκανοῦ περιγραφὴ (Fars. Lib. V). Τοιαύτην τοῦ πράγματος ἀνάμνησιν ποιεῖ καὶ ὁ Στράβων ( 9. ) «Φασὶ δὲ (α) τὸ Μαντεῖον ἄντρον κοῖλον κατὰ βάθος οὐ μάλα εὐρύστομον, ἀναφέρεσθαι δ' ἐξ αὐτοῦ πνεῦμα ἐνθουσιαστικὸν, ὑπερκεῖσθαι δὲ τοῦ στομίου τρίποδα ὑψηλὸν, ἐφ' ὃν τὴν Πυθίαν ἀναβαίνουσαν δεχομένην τὸ πνεῦμα ἀποθεσπίζειν ἔμμετρά τε καὶ ἄμετρα, ἐκτείνειν δὲ ταῦτα εἰς μέτρον ποιητάς τινας ὑπουργοῦντας τῷ ἱερῷ». Ἦν δ' ἐκεῖ παραπεφυτευμένη εἰς παραῤῥέον καὶ καναχοῦν ὕδωρ (Καςαλίαν, ἧς τὴν μαρμάρινον δεξαμενὴν συντετριμμένην ἀναφέρουσιν ἔτι καὶ νῦν ὑφιςαμένην οἱ περιηγηταὶ), ὅθεν ἔπινεν ἡ μάντισσα, καὶ δάφνη, ἧς φύλλον προεμάσσα ἡ Φοιβὰς, καὶ ἥτις ἐσείετο τῶν χρη-

(α) Περίεργον ὅτι ὁ Στράβων, ὃς περιῆλθε τοσαύτην γῆν, περιγράφων τὸ μαντεῖον λέγει, «φασὶν» ὡς ἀπὸ ξένης ἱστορίας καὶ περιγραφῆς δηλονότι· οὕτω τυχὸν δυσπρόσιτος ἦν ὁ τόπος τοῖς βεβήλοις.



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σμῶν διδομένων. Ἐνεφώλευε δὲ καὶ μέγας ὄφις, τοῦτο μὲν ἵν᾽ ὁ τόπος ᾖ καταπληκτικὸς, ὡς καὶ ὁ τοῦ Ἀριστοφάνους σχολιαστὴς ἐσημειώσατο « διὰ τὴν τῶν ὄφεων ἔκπληξιν » ἑρμηνεύων τὸ τοῦ κωμικοῦ (Νεφ. στιχ. 508. )

. . . . . . ὡς δέδοικ᾽ ἐγὼ
εἴσω καταβαίνων, ὥσπερ ἐν Τρυφωνίου

καὶ ὁ Λουκανὸς (Farsal. Lib. V. v. 128.)

Limine terrifico metuens consistere Fæbas.
Πύλης δὲ τῆς τρομερᾶς ἡ Φοιβὰς δειλιῶσα προστῆναι.

Τοῦτο δὲ, ὅπως οἱ περιεργότεροι μὴ τολμῶσι προσεγγίζειν πολυπραγμονοῦντες τὰ ἱερά. Καὶ πάντως τοιοῦτος ἦν ὁ Πύθων, ὃν ἔκτανεν ὁ μυθολογούμενος Ἀπόλλων, βίᾳ σφετεριζόμενος τὸ μαντεῖον διὰ τὰ πλούτη αὐτοῦ, εἰς ἣν ὑπόθεσιν τοσαῦτα καὶ τηλικαῦτα ἔπλασαν οἱ ποιηταί. Δοκεῖ γὰρ τὸν ὄφιν τοῦτον πελώριόν τινα Κόλουρον γεγονέναι, χειροήθη καὶ πιθήνιον εἰς τοὺς ἱερεῖς, μετακομισθέντα ἀνέκαθεν ὑπὸ ὀφιούχων θαυματοποιῶν, ἐξ ὧνπερ συνεστήθη καὶ τὸ μαντεῖον. Τοιοῦτος ὄφις ἐχρημάτισε, καὶ ὃν ἀπέκτεινε Δανιὴλ ὁ προφήτης (Δανιὴλ κατὰ τοὺς Ο΄. κεφ. ιδ΄). Ὅτι δὲ τοὺς εἰς τὰ ἱερὰ ὄντας δρακοντείους ὄφεις, διά τε τὸ καταπληκτικὸν αὐτῶν, καὶ τὸ μέγα τῶν χυδαίων πρὸς αὐτοὺς σέβας, μετεκόμιζον μακρὰν ὁδὸν, παρέδωκεν ἡ ἱστορία καὶ παράδειγμα τὸν Ἀσκληπίειον ὄφιν· οὕτω γὰρ ἱςορεῖ Τῖτος ὁ Λίβιος Anguis Epidauricus Romam advectus est. An. Urb. c. 462 «Ὁ Ἐπιδαύριος ὄφις μετηνέχθη εἰς Ῥώμην τῷ 462 ἀπὸ Κτίσεως Ῥώμης»· ὁ δὲ Ἀδριανὸς κατὰ τὴν μαρτυρίαν Δίωνος τοῦ Κασσίου ἐν τῷ Ὀλυμπίῳ τῷ ἐν Ἀθήναις, «Καὶ δράκοντα εἰς αὐτὸ ἀπὸ Ἰνδίας κομισθέντα ἀνέθηκεν». Ἐκ τούτου τοῦ ὄφεως εἴκασάν τινες ὀνομασθῆναι καὶ τὸν *Πύθωνα*, καὶ πάντως οὐ πάντη δωρεάν· ἐν γὰρ τῷ Ἑβραϊκῷ ἰδιώματι פֶּתֶן ΠΤΝ. ἢ καὶ ΠΘΝ σημαίνει δρακοντώδη καὶ βασιλισκοειδῆ ὄφιν: οἷον γράφουσι τὸν ὑπὸ τοῦ ἁγίου Γεωργίου φονευόμενον, ΑΣΠιΔαν ὀνομαζόμενον κοινῶς, ὡς μετέφρασαν καὶ οἱ Ο΄. τὸ Ἑβραϊκὸν (ψαλμ. ϥ΄. 13. )

עַל־שַׁחַל וָפֶתֶן תִּדְרֹךְ « ἐπὶ ἀΣΠίΔα καὶ βασιλίσκον ἐπι-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ϐήσῃ »· καὶ πάντως ἡ ἀνάστροφος γραφὴ τῆς ἀΣΠίΔος ἐγένετο ΔιΠΣὰς, ὄνομα καὶ τοῦτο εἰδικὸν ὄφεως δηλητηρίου (οὗ μέμνηται καὶ Ἀρεταῖος Β΄. ϐ΄. Ἀλλὰ περὶ τοῦ ΠύΘωΝ λέγομέν τινα καὶ εἰς τὸ ὄνομα ΤυΦῶΝ: ὃν τὸ αὐτὸ ἀναγεγραμματισμένον, ὡς δὴ καὶ τὸ Λοξίας ἢ ΛοΚΣίας ἐκ τοῦ ΛΗΣ ( δασέως ὄντος τοῦ Η ) ἢ שחל· ἀλλὰ περὶ τούτου ὅρα τὸν ἡμέτερον Κέντωνα.

§. 16. Οἱ λόγοι τῆς Πυθίας ἦσαν δυσδιάκριτοι, καὶ ὡς εἰκάζω παντάπασιν ἄναρθροι καὶ ἀσήμαντοι, οἱ δ᾽ ὑπουργοὶ παριστάμενοί τε καὶ συλλέγοντες τοὺς σποραδικοὺς καὶ ἀσυνδέτους φθόγγους, καὶ δὴ συῤῥάπτοντες ἀρχῆθεν μὲν ἐμμέτρως ἔδιδον τὰς ἀποκρίσεις, εἶτα δὲ κατήντησαν εἰς πεζὸν, ὡς ἀναφέρει καὶ ὁ Πλούταρχος ἐν ἰδίῳ ὑπομνήματι « Περὶ τοῦ μὴ χρᾷν ἔμμετρα νῦν τὴν Πυθίαν ». Ἔχρα δ᾽ ἅπαξ τοῦ μηνὸς, εἴς γε τοὺς ἐσχάτους χρόνους, πάντοτε βίᾳ ἀγομένη εἰς τὸν τρίποδα, ὡς μετὰ τὴν ἀπόδοσιν τῶν χρησμῶν ἐπὶ πολλὰς ἡμέρας νοσοῦσα διὰ τὴν ῥηθεῖσαν (§. 15.) αἰτίαν. Προαπήτει δὲ θυσίας καὶ προσφοράς. Οἱ δὲ μαντευόμενοι ἐν πυξίῳ ἔγραφον τὰς πεύσεις, αἱ δ᾽ ἀποκρίσεις αὐταὶ ἐλέγοντο χρησμοί, ἀναγραφόμενοι ἐν τῷ ἱερῷ εἰς βίβλους, ἐξ ὧν ἐχρῶντο καὶ συγγραφεῖς, οἷος καὶ ὁ παρὰ Μακροβίῳ ἐν τοῖς Σατουρναλίοις. Ἐκ τῶν ἀπείρων δοθέντων χρησμῶν σώζονται πολλοὶ ἐσπαρμένοι ἐν τοῖς τῶν ἀρχαίων συγγράμμασιν, οὓς καὶ εἰς ἓν συναγαγὼν, τύποις ἐξέδοτο ὁ Ἰωάννης Ὀψοποιὸς τοιαύτῃ ἐπιγραφῇ Oracula metrica jovis. Apollinis. etc. a Johan. Opsopæo collecta. Parisiis. 1067. Οἱ χρησμοὶ δὲ οὗτοι πάντοτε σκοτεινοὶ καὶ ἀμφίλεκτοι ὡς τὸ, — « Ἥξεις ἀφίξεις οὐ θνήξεις ἐν πολέμῳ » — καὶ τό· « Κροῖσος Ἅλυν διαβὰς μεγάλην ἀρχὴν καταλύσει » — οὐδέποτε ἔδιδον ἔννοιαν σαφῆ καὶ διακεκριμένην· οἵους ἀνέκαθεν ὑπετύπωσε καὶ ὁ Αἰσχύλος (Προμ. στίχ. 662)

Ἧκον δ᾽ ἀναγγέλλοντες αἰολοστόμους
χρησμοὺς ἀσήμως δυσκρίτως τ᾽ εἰρημένους.

Ἀλλὰ καὶ οὕτω πάντες ἐσέβοντο καὶ ἀληθεῖς αὐτοὺς ἐπίστευον, ὥστε καὶ εἰς παροιμίαν, σωθεῖσαν μέχρι τῆς σήμερον, « λαλεῖ ὡς ἐκ τρίποδος, » μετέβη τὸ πρᾶγμα· εἰ καὶ τοὐναντίον πολλοὶ, μάλιστα τῶν τῆς Στοᾶς, ἐξεμυκτήριζον αὐτοὺς ὡς πλαστολογίας, καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τὸν ἐνθουσιασμὸν αὐτῶν περιέπαιζον· ὅθεν ὁ Κικέρων ἐν τῷ Β'. Μαντικῶν (De Divinatione L. II.) «Ὃ δὲ κεφάλαιον λόγου, φησὶ, τί οὐχ οὕτως (ὥσπερ δηλονότι καὶ πάλαι) χρησμοδοτεῖται καὶ νῦν ἐν Δελφοῖς, οὐ μόνον ἐφ' ἡμῖν, ἀλλ' ἤδη καὶ πολὺ πρότερον ἐπὶ τῶν πρὸ ἡμῶν, ὥστ' οὐδὲν τῶν γε νῦν χρησμῶν εἰκαιότερον; ἀλλ' ἐν τούτῳ βίᾳ ἀγχόμενοι, χρόνῳ φασὶ τὴν δύναμιν τοῦ τόπου, ὅθεν δὴ τὸ πνεῦμα τῆς γῆς ἀνεφέρετο, ᾧπερ οἰςρουμένη τὸν νοῦν ἡ Πυθία προεφήτευεν, ἐξίτηλον φχηκέναι, ὡς ἂν εἰ περὶ οἴνου, ἢ ἄλλου ἀρτύματος, ἃ χρόνῳ ἕωλα γίγνεται, διελέγοντο· ἡμῖν δ' ὁ λόγος περὶ ἀρετῆς τόπου, καὶ πάντως οὐ φυσικῆς, ἀλλὰ θείας τινός· πῶς οὖν ἤδη ἐκλέλοιπε; μῶν παλαιότητι; ἀλλὰ τίς παλαιότης τὴν θείαν ἐκκενοῖ δύναμιν· τί δὲ τοσοῦτο θεῖον, ὅσον ἐκ μυχῶν γῆς πνεῦσις, τὸν νοῦν οὕτω συγκινοῦσα, ὡς καὶ τῶν μελλόντων προγνωστικὸν ποιεῖν, οὐδὲ μόνον διὰ χρόνων προορᾷν, ἀλλὰ καὶ πρὸς μέτρον λέγειν; πότε δὲ ἡ δύναμις αὕτη ἐξέλιπεν; ὅρα μὴ ἐξ ὅτουπερ οἱ ἄνθρωποι οὐ ῥᾳδίως πιστεύουσιν; Ὁ μὲν γὰρ Δημοσθένης πρὸ τριακοσίων που ἐτῶν γεγονὼς τὴν Πυθίαν ἔλεγε Φιλιππίζειν: ἤγουν συμπράττειν τῷ Φιλίππῳ: ὃ δὴ σημαίνει αὐτὴν ὑπὸ Φιλίππου χρήμασιν ἐφθάρθαι· ὅπερ ἡγητέον καὶ περὶ πολλῶν ἄλλων δελφικῶν χρησμῶν, οἷς μετῆν δόλου. Ἀλλὰ γὰρ, οὐκ οἶδ' ὅπως, οἱ προληπτικοὶ οὗτοι φιλόσοφοι, μανικοὶ φανητιῶντες, δοκοῦσιν, ᾧ τῳ ἂν ἄλλῳ βούλῃ στέργοντες, ἢ τῷ μὴ εἶναι εὐήθεις. Βούλονται γὰρ μᾶλλον ἐκλελοιπὸς οἴεσθαι, ἢ γοῦν ἀπεσβεσμένον, ὃ εἴπερ πότ' ἦν, πάντως ἂν ἦν αἰώνιον, ἢ μὴ πιστεύειν, οἷς οὐ δεῖ πιστεύειν». Ἀλλὰ συμπᾶσι τούτοις, οἱ χρησμοὶ, μάλιστα οἱ ἐκ τῶν Δελφῶν, ἀληθέστατοι ἐδόκουν, ὥστε καὶ τὸν Λουκανὸν λέγειν

Sive canit fatum, sive quod jubet ipse canendo
Fit fatum.

Εἴτε μοιραῖα ἃ ψάλλει, εἴθ' ὅσα ἂν ψάλῃ μοιραῖα.

Ἀλλὰ καὶ πολλοὶ τῶν Πατέρων τῆς Ἐκκλησίας ἐπίστευσάν τινας τῶν χρησμῶν ἀληθεῖς· διὸ καὶ ἀναφέρουσιν ὡς τοῦ διαβόλου ἀκούσιον ὁμολογίαν τὸν περὶ τῆς παρουσίας τοῦ Ἰησοῦ Χριςοῦ, ὃν φοιβάσασ' ἀπεκρίθη εἰς τὸν Καίσαρα χρηστηριαζόμενον, ὡς παρά τε Εὐσεβίῳ (ἐν τοῖς Χρονικ.) καὶ Ζωναρᾷ φέρεται.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

θανωτάτην γνώμην ἄχρι τῆς σήμερον στητὸν ἐν τῷ Ἱπποδρομείῳ ταύτης τῆς μεγαλοπόλεως· *τιλισίμι* δὲ, ἤγουν τέλεσμα ἢ παλλάδιον νομιζόμενον πρὸς τῶν τουρκῶν, διὸ καὶ οἱ πρῶτον βλέποντες αὐτὸ ἐῤῥίπτουσιν εἰς τὸ κοίλωμα αὐτοῦ πετρίδια· σώζεται καὶ μία τῶν τριῶν κεφαλῶν τῶν πρὸ πολλοῦ ἀποκοπεισῶν, ἣν εἶδον μέν ποτε ἐν τῷ ἀπέναντι θηριοτροφείῳ, νῦν δὲ μανθάνω μετενεχθεῖσαν εἰς τὰ ἐκεῖ που πλησίον νοσοκομεῖα τῶν μανιακῶν, ἣν ἐξέκοψέ ποτε, ὡς λέγουσι, μιᾷ πληγῇ σπάθης ὁ Σουλτᾶν. Δοκεῖ δὲ, κατὰ τὸν Ζώσιμον καὶ Σωζόμενον, ὑπὸ Κωνσταντίνου τοῦ μεγάλου μετενεχθῆναι ἐνταῦθα, οὐ πάντως ἐφισταμένου καὶ τοῦ χρυσοῦ τρίποδος μετὰ τοσαύτας ἱεροσυλίας. Λέγεται δὲ, καὶ ἴσως οὐκ ἀπιθάνως, ὡς ὅτε ἐπὶ Θεοδοσίου τοῦ μεγάλου (§. 20.) κατελύθη τὸ χρηστήριον, ἐπετέθη κομισθεὶς αὐτὸς ὁ τῆς Πυθίας τρίπους, ὡς θρίαμβος τοῦ χριστιανισμοῦ κατὰ τῆς εἰδωλολατρείας, καθὰ αὐτὴ ἡ Πυθία ἐχρησμοδότησε (§. 16). Ἀφ' οὗ «μαινομένα μὲν, ἐνὶ θνητοῖσι δ' ἀπίςα λέγουσα» διῴκησε τοῦ κόσμου τὴν συνείδησιν εἴς τε τὰ κοινὰ καὶ ἰδιωτικὰ κατά τε Ἀσίαν καὶ Εὐρώπην καὶ Λιβύαν πλέον ἢ δισχίλια ἔτη, αὐτὴ καθημένη εἰς τὸ ὑπὸ τοῦ Πινδάρου λεγόμενον «εὐῶδες ἄδυτον» (α), καὶ μεσόμφαλον ἵδρυμα Λοξίου πέδον κατὰ τὸν Αἰσχύλον (Χοηφ.) νομιζόμενον, ὡς ὅθεν ὁ Ζεὺς δύο ἀετοὺς τὸν μὲν ἀπ' ἀνατολῶν τὸν δ' ἀπὸ δυσμῶν ἀφεὶς, ἐνταῦθα συναντήσαντας εἶδεν ἀλλήλοις κατὰ τοὺς μυθικούς.

§. 20. Δοκεῖ τοίνυν τὸ χρηστήριον τοῦτο θειϊκῶν ἢ καὶ ἄλλων τινῶν ἀσφυξίαν ἐμποιουσῶν ἀναθυμιάσεων μικρός τις βόθρος τὸ κατ' ἀρχὰς εὑρεθεὶς, τὸν ἐπιληπτικὸν σπασμὸν καὶ μογγυθμὸν κατοχὴν θείαν καὶ ἐνθουσιασμὸν προφητικὸν νομισάντων τῶν πολλῶν, ἀ-

---

(α) Τὰ μὲν ἀποτελέσματα τοῦ χρηστηρίου τὰ ἐπὶ τῆς προφήτιδος, οἷα περιγράφει ἰδίᾳ καὶ ὁ Λουκανὸς, (Fars. Lib. V.) ἐπείγουσιν ὑπολαβεῖν τὸ ἄντρον χαρωνεῖόν τι ἢ Πλουτωνεῖον, οἷα ὁρῶνται ἔντισι τόποις, καὶ δὴ καὶ παρὰ τῇ Νεαπόλει τῆς Ἰταλίας τὸ ἰδίως λεγόμενον Grotta del Cane· καὶ τότε εἴποις ἂν τὸ Πινδαρικὸν (Ολ. Ζ. 58)

Τῷ μὲν ὁ χρυσοκόμας
Εὐώδεος ἐξ ἀδύτου . . . .

κατ' εὐφημίαν ῥηθέν· ἢ καὶ ὅτι οἱ ἱερεῖς ὑπεθυμίων τὸ ἱερὸν ὀσμαῖς οὔπω γνωρίμαις τοῖς ἕλλησι, διὰ τὸ δύσοσμον τοῦ τόπου.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

(Παῖς) Ἑβραῖος κέλεταί με Θεοῖς μακάρεσσιν ἀνάσσων
Τόν (δε) δῶμον προλιπεῖν καὶ Ἀΐδην αὖθις ἱκέσθαι.

§. 17. Ὅπως δ' ἂν ἔχῃ τὸ πρᾶγμα, ὅτι πολὺν καὶ ἄφατον πλοῦτον οἱ χρησμοὶ αὐτοὶ ἔφερον εἰς τὸν ναὸν καὶ ὁ Ἡρόδοτος διὰ μακρῶν ἱστορεῖ, καὶ τὰ πράγματα αὐτὰ ὁμολογοῦσιν, ὡς χαριέστατα καὶ ὁ Λουκιανὸς παίζει ἐν τῷ Φαλάριδ. Β'. λέγων, « Τὸ δὲ ἱερὸν καὶ ὁ Πύθιος καὶ τὸ χρηστήριον, καὶ οἱ θύοντες καὶ οἱ εὐσεβοῦντες, ταῦτα Δελφῶν τὰ πεδία, ταῦθ' ἡ πρόσοδος, ἐντεῦθεν ἡ εὐπορία, ἐντεῦθεν αἱ τροφαὶ (ἴσ. γρ. τρυφαί). Χρὴ γὰρ τἀληθῆ πρὸς ἡμᾶς αὐτοὺς λέγειν, καὶ τὸ λεγόμενον ὑπὸ τῶν ποιητῶν ἄσπαρτα ἡμῖν καὶ ἀνήροτα φύεται τὰ πάντα ὑπὸ γεωργῷ τῷ Θεῷ· ὃς οὐ μόνον τὰ παρὰ τοῖς ἄλλοις ἀγαθὰ γιγνόμενα παρέχει, ἀλλ' εἴτι ἐν Φρυξί, ἢ Λυδοῖς, ἢ Πέρσαις, ἢ Ἀσσυρίοις, ἢ Φοίνιξιν, ἢ Ἰταλιώταις, ἢ Ὑπερβορείοις αὐτοῖς, πάντα εἰς Δελφοὺς ἀφικνεῖται· καὶ τὰ δεύτερα μετὰ τὸν Θεὸν ἡμεῖς τιμώμεθα ὑφ' ἁπάντων, καὶ εὐποροῦμεν καὶ εὐδαιμονοῦμεν. Ταῦτα τὸ ἀρχαῖον, ταῦτα τὸ μέχρι νῦν, καὶ μὴ παυσαίμεθά γε οὕτω βιοῦντες. » Διὸ πολλάκις ἀνεκαινίσθη τὸ ἱερὸν, καὶ πολλάκις χερσὶν ἱεροσύλων γυμνωθὲν πυρὶ ἐξεκαύθη, πάντοτε ἐκ τῆς τέφρας πλούσιον ἀναδεικνύμενον, ὥστε καὶ ἰσόπλουτον νομίζεσθαι Ξέρξῃ τῷ μεγάλῳ βασιλεῖ· ἐκλεΐζετο δὲ καὶ διὰ τὴν πανήγυριν τῶν Πυθίων, ἅπερ μετὰ τῶν Πυθιονικῶν ὕμνησεν ὁ Πίνδαρος οὕτω δαιμονίως. Εἶχε δὲ αὐτοῦ καὶ ἑκάστη πολιτεία ἑλληνικὴ ἴδια τεμένη καὶ θησαυροὺς, ἢ κοινὰ τῆς πόλεως αὐτῶν ταμεῖα, οἷα δοκοῦσι καὶ τὰ ὑπὸ Πλινίου μνημονευόμενα ἐν τῷ **XXXV. 9. Polygnotus Delphis Ædem pinxit**, καὶ πάλιν αὐτόθι. **11. Aristoclidis Ædem pinxit** ἤτοι « ὁ Πολύγνωτος ἔγραψεν ἐν Δελφοῖς ναὸν » ἴσως λέγει τὴν Λέσχην τῶν Φωκέων, θαυμασίως γραφεῖσαν παρ' αὐτοῦ, καὶ περιγραφομένην ὑπὸ Παυσανίου (Βιβ. Ι. κέ)' καὶ· « Ἀριστοκλείδης ναὸν ἔγραψεν ἐν Δελφοῖς ». Ἐν τούτοις τοῖς ταμείοις ἐσῴζοντο καὶ τὰ ἑκάστης πόλεως ἀναθήματα: οἷος καὶ ὁ χρυσοῦς τρίπους, ὃν ἐκ τῶν ἐν Πλαταιαῖς ἡττηθέντων βαρβάρων ὁ τῶν Λακεδαιμονίων βασιλεὺς Παυσανίας ἀνέθηκαν ἐπὶ συμπλέγματος τριῶν πεντεκαιδεκαπόδων τὸ μῆκος ὄφεων κατὰ τὸν Ἡρόδοτον (Βιβ. θ'.), ὅπερ κολωβὸν μὲν σώζεται κατὰ τήν τινων πι-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

πλῶς τε καὶ ἀγροίκως ηὐτοσχεδιάσθη εἰς χρηστηρίου ναοῦ σχῆμα. Καὶ τοῦτο ἤρκεσεν εἰς ἄνδρας λαοπλάνους, οἷοι δοκοῦσιν οἱ λεγόμενοι « παῖδες ὑπερβορέων Παγασὸς, καὶ Διὸς Ἀγυιεὺς — Ὠλὴν θ' ὃς γένετο πρῶτος Φοίβοιο προφάτας » (Bulang. De Orac. c. vj.)· ἵνα καὶ τὸν παρακείμενον καὶ τῷ Θεῷ ΕΙ καθιερωμένον ναὸν μιάνωσι, καὶ συστηματικῶς ἐξαπατῶσι τοὺς ἀνθρώπους· ὀρθῶς γὰρ λέγει ὁ Λουκιανὸς ἐν τῷ Ψευδομάντει « Ὡς γὰρ ἂν δύο κάκιστοι καὶ μεγαλότολμοι, καὶ πρὸς τὸ κακουργεῖν προχειρότατοι εἰς τὸ αὐτὸ συνελθόντες, ῥᾳδίως κατενόησαν τὸν τῶν ἀνθρώπων βίον ὑπὸ δυοῖν τούτοιν μεγίστοιν τυραννούμενον: Ἐλπίδος καὶ Φόβου· καὶ ὅτι ὁ τούτων ἑκατέρῳ εἰς δέον χρήσασθαι δυνάμενος τάχιστα πλουτήσειεν ἄν· ἐν ἀμφοτέροις γὰρ τῷτε δεδιότι καὶ τῷ ἐλπίζοντι ἑώρων τὴν πρόγνωσιν ἀναγκαιοτάτην τε καὶ ποθεινοτάτην οὖσαν, καὶ Δελφοὺς οὕτω πάλαι πλουτῆσαι καὶ ἀοιδίμους γενέσθαι, καὶ Δῆλον καὶ Κλᾶρον καὶ Βραγχίδας· τῶν ἀνθρώπων ἀεὶ δι' οὓς προεῖπον τυράννους τὴν ἐλπίδα καὶ τὸν φόβον φοιτώντων εἰς ἱερὰ καὶ προμαθεῖν τὰ μέλλοντα δεομένων, καὶ δι' αὐτὸ ἑκατόμβας θυόντων, καὶ χρυσᾶς πλίνθους ἀνατιθέντων »· τοιοῦτο λοιπὸν λιτὸν καὶ αὐτοσχέδιον ἦν κατ' ἀρχὰς τὸ μαντεῖον. Ἀλλὰ μετὰ ταῦτα, μετενεχθέντων πολλῶν φυτῶν δάφνης ἀπὸ τῶν Θεσσαλικῶν Τεμπῶν, ηὐτρεπίσθη μὲν ὁ πρῶτος ναὸς συμπεριπεπλεγμένοις κλῶνοις καὶ κλάδοις τῶν ῥηθέντων φυτῶν, ἀσεβεῖς δέ τινες ἔκαυσαν αὐτόν· καὶ ὁ μῦθος λέγει, ὅτι μέλισσαι κηρίῳ καὶ πτεροῖς ζώων ηὐτρέπισαν αὐτὸν, ἐφ' ὃ καὶ πεποίηται τὸ παρὰ Πλουτάρχῳ

Συμφέρετε πτερὰ τ' οἰωνοὶ, κηρόν τε μέλισσαι.

οἱ δὲ δυσκόλως ἀποδεχόμενοι τὸ θαυματουργικὸν τηλικοῦτον τῶν μελισσῶν δαιδάλεον ἔργον, λέγουσιν ἀλληγοροῦντες, ἢ ὅτι ἐξ ἁπλῶν πτερίδων ἀγροίκως ᾠκοδομήθη, ἢ ὅτι Πτέρας τοὔνομα ἀρχιτέκτων τις ἔκτισεν αὐτὸν, καὶ οὗτος ἀριθμεῖται δεύτερος. Ὁ τρίτος λέγεται ἔργον τοῦ Ἡφαίστου χάλκεος κατασκευασθείς· ἀλλ' αὐτὸν μᾶλλον ἔργον φαντασίας ὑπολαμβάνει ὁ Ἀρδίων (Hardion. Dissert. prem. Sur l' oracle de Delphes ἐν τοῖς ἀπομνημονεύμασι De l' Academie Royale des Inscriptions et des Belles-lettres, l' an. 1712)· πῶς γὰρ ἠδύνατο, λέγει, χαλκοῦς ὢν ἀπολεσθῆναι. Ἀλλὰ τὸ χαλκοῦν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τοῦτο οὐδὲν ἕτερον σημαίνει, ἴσως, εἰ μὴ ἥλους χαλκοῦς ἢ συναφάς τινας μεταλλικὰς, τὸ τότε οὔσας σπανίας, ἢ καὶ ὀρθοχάλκωσιν, ἤγουν ἔνδυσιν τῆς τοῦ ναοῦ ἐπιφανείας ἁπάσης λεπτοῖς ἐλάσμασι (incrustation), ὅπερ ἴσως καὶ αἴτιον τῆς ταχείας ἐρημώσεως αὐτοῦ. Ἴσως δὲ καὶ ὁ ναὸς οὗτος, ἢ μᾶλλον ἐν αὐτῷ Κουβούκλιόν τι χαλκοῦν, ἦν καί πως κομιστὸς ἐφ' ἁμάξης· οἷον ἀναφέρει ὁ Ἡρόδοτος (Β. 63). Τοὺς δὲ τοιούτους ναοὺς πολλοὶ ἐτερατολόγουν καὶ ὡς διϊπετεῖς· οἷον καὶ νῦν ἐν τῇ Παπικῇ ἐκκλησίᾳ σεμνολογεῖται τὸ ναΐδριον τοῦ Λορέττου Santa Casa λεγόμενον. Καὶ τοιούτους ζυγοφορουμένους ναοὺς, ὡς ὀνομάζει αὐτοὺς παρ' Εὐσεβίῳ Φίλων ὁ Βύβλιος, συνείθιζον μάλιστα οἱ Φοίνικες, ἐν οἷς ἐφύλασσον καὶ εἴδωλον τῆς θεᾶς ἈΣΤάΡΤης, καὶ οὓς εὑρίσκομεν ἐπὶ τὰ νομίσματα τῆς Σιδῶνος (Henr. Noris Annus et Epochæ Syromaced. Dissert. jv. §. 1). Καὶ δοκεῖ ὅτι ἐν λιτανείαις περιῆγον αὐτοὺς, ἢ ταῦτα τὰ φορεῖα, συρόμενα ὑπ' ἀνδρῶν εὐλαβῶν. Διὸ καὶ ὁ Μακρόβιος (Saturn. I. c. 23) Vehitur enim, λέγει, Simulacrum Dei Heliopolitani ferculo etc. ἤτοι. «Σύρεται δὲ ἐπὶ φορείου τὸ εἴδωλον τοῦ Ἡλιοπολίτου θεοῦ, ὡς τὰ τῶν θεῶν εἴδωλα ἐν τῇ πομπῇ τῶν κυκλικῶν ἀγώνων· ὑποζεύγνυνται δ' ὡς ἐπίπαν οἱ τῆς ἐπαρχίας ἐπίσημοι ἄνδρες, ἐξυρισμένοι τὴν κεφαλὴν, καὶ ἐπὶ πολὺν χρόνον προαγνισθέντες». Εἰκάζω δὲ τοῦτο εἶναι καὶ τὸ ὑπὸ τῶν Συριῶν σωθὲν μέχρι τῆς σήμερον ἔθος τοῦ περιάγειν εἰς τοὺς δρόμους τῆς Κωνσαντινουπόλεως ὁμοίωμα τοῦ ναοῦ, ἐστολισμένον πτεροῖς στρουθοκαμήλου, κρούοντας τύμπανα καὶ ἀλλαλάζοντας ἐπὶ δύο μῆνας πρὸ τῆς ἀναχωρήσεως τοῦ Συῤῥέ. Ἐὰν οὖν τὸ τοιοῦτο ναΐδριον πρὸς τοῖς πτεροῖς εὐτρεπισθῇ καὶ κηρίοις, οἷα τὰ εἰς τὰς λιτανείας πεφωτισμένα περιαγόμενα κουβούκλια, ἑρμηνεύεται ἄριστα ὁ προσημειωθεὶς στίχος· Συμφέρετε κτλ. ἄνευ ἀμέσου συμπράξεως τῶν τε οἰωνῶν καὶ μελισσῶν· ὥστε κἀκ τούτου δείκνυται, ὅτι ἐκεῖνος ὁ ναὸς ἦν ναΐδριον ἢ φορεῖον περιαγόμενον. Ὁ τέταρτος ναὸς τέλος πάντων λιθόκτιστος ἐγένετο, ἔργον ἐπίσημον τοῦ Τροφωνίου καὶ Ἀγαμήδους κτισθεὶς μὲν περὶ τὰ Τρωϊκά· ἐρημωθεὶς δὲ τῷ 548 πρὸ Χριστοῦ. Ἀλλὰ μετὰ 35 χρόνων παρέλευσιν, ἤτοι τῷ 513 ἀνεκαινίσθη ἐκ βάθρων ἐπιστατούντων τῶν Ἀμφικτυόνων ὑπὸ Σπινθῆρος ἀρχιτέκτονος, ἔχων τὰ μὲν ἐνώπια

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐκ μαρμάρου παρίου, τὸ δὲ λοιπὸν πώρινον λίθον κατὰ τὴν τοῦ Ἡροδότου περιγραφήν. Οὗτος ὁ ναὸς ἦν καὶ ἐπὶ Πλουτάρχου τοῦ ἰδόντος τὸ ΕΙ, καὶ οὗτος διετηρήθη μέχρις Ἰουλιανοῦ τοῦ Παραβάτου, τοῦ πάσαις δυνάμεσιν, ἐπ' ἀγαθῷ δῆθεν τῆς Ῥωμαίων βασιλείας, καὶ παντοίοις τρόποις, οὐ μὴν δὲ καὶ τυραννικῶς, τήν τε κατάλυσιν τοῦ χριστιανισμοῦ, καὶ τὴν ἀνόρθωσιν τῆς εἰδωλολατρείας οὐ μόνον μάτην μηχανευθέντος, ἀλλὰ καὶ συμβαλόντος ἀκοντὶ εἰς τὴν τοῦ Εὐαγγελίου στερέωσιν. Ἐπειδὴ γὰρ τέως τὴν ἐρήμωσιν τοῦ ἐν Ἱεροσολύμοις ναοῦ, καὶ ἀκολούθως τὴν παῦσιν τῆς ἱερατείας καὶ τὴν παῦσιν τῶν θυσιῶν καὶ οἱ χριστιανοὶ καὶ οἱ Ἰουδαῖοι ἐθεώρουν ὡς θεομηνίαν τινὰ τοῦ ἐκχυθέντος αἵματος τοῦ Σωτῆρος «Σὺ ἐπίγνωσιν ἀπώσω, κἀγὼ ἀπώσομαί σε τοῦ ἱερατεύειν μοι,» ὡς προεφήτευσεν ὁ Ὠσιὲ δ΄. καὶ μάλιστα ὡς ἐπιφανέστατον σύμβολον τῆς ἀληθοῦς προῤῥήσεως «οὐ μὴ μείνῃ λίθος ἐπὶ λίθον», καὶ κατὰ τὸ σαφέστατα γεγραμμένον (Λουκ. κα΄. 22)·» ὅτι ἡμέραι ἐκδικήσεως αὗταί εἰσι τοῦ πληρωθῆναι πάντα τὰ γεγραμμένα»· αὐτὸς οὐ μόνον συνεχώρησε τοῖς Ἰουδαίοις, ἀλλὰ δὴ καὶ συνέδραμεν εἰς τὸ ἀνεγερθῆναι τὸν ναὸν (**Amm. Marcel. lib. XXIIJ c. I.** εἰ καί τις τῶν νεωτέρων, ἀνὴρ παντάπασιν ἀσεβὴς καὶ παραχαράκτης ἱςορικῆς πίςεως προσπαθεῖ παντοιοτρόπως ἀναιρέσαι τὸ πρᾶγμα Reghellini de Schio Exemen du Mosaïsme et du Christianisme Tom. III. chap. XXVJ.). Σπουδάζοντας τοίνυν καὶ φιλοπονοῦντας τὸ ἔργον ἀνεικάστῳ ἐπιμελείᾳ, φλόγες ἐκ τῶν ἀνασκαφέντων θεμελίων ἀναβρύσασαι ἐφόβησαν αὐτούς, οὐ μὴν ἀλλὰ καὶ τὰ περὶ αὐτὰ χώματα διὰ σεισμῶν καταπεσόντα πολλοὺς τῶν ἐργατῶν ἐγκατέχωσαν, ὅθεν καὶ ἡ ἐπιχείρησις διεκόπη, ἐκπληρωθείσης οὕτω κατὰ πᾶσαν ἀκρίβειαν τῆς θείας προῤῥήσεως· ἐπὶ λόγῳ γὰρ ἀνεγέρσεως καὶ τὰ ὀλιγοστὰ μείναντα ἐρείπια παντάπασι κατεδάφισαν αὐτοὶ οἱ Ἰουδαῖοι, ἰδίαις ὑπηρετοῦντες χερσίν· ὥςε ἀληθῶς οὐκ ἔμεινε λίθος ἐπὶ λίθον· διὸ ὁρῶντες ματαιωθέντα τὸν ἔνθερμον ζῆλον αὐτῶν, πολλοὶ μὲν εἰς Χριστὸν ἐπίστευσαν, πολλοὶ δ' αὖ καὶ τοῖς εἰδώλοις ἔθυσαν· οἱ δὲ ἐμμείναντες οὐκ εἶχον καιρὸν ἀναλαβεῖν τὴν οἰκοδομήν, διάτε τὸν συμβάντα θάνατον τοῦ Ἰουλιανοῦ (ἡ μὲν γὰρ ἄδεια δέδοται τῷ 363 κατὰ τὸν Πεταύϊον (**De Doctr. Temporum. L. XIIJ**· αὐτὸς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

δ᾽ ἀπέθανε μετὰ πέντε μῆνας περίπου), καὶ διὰ τὴν διαδοχὴν τοῦ Ἰουϊνιανοῦ, τοῦ τὸν μὲν χριστιανισμὸν καὶ τὴν ὀρθοδοξίαν ἀσπασθέντος, τοὺς δὲ τῶν εἰδώλων ναοὺς ἀποκλείσαντος. Ἡ τοίνυν ἀποτυχία τῆς τοῦ ἱεροῦ ἀνεγέρσεως τοὺς μὲν χριστιανοὺς ἐνεθάῤῥυνέ τε καὶ ἐστήριξε, τοὺς δὲ Ἰουδαίους κατήσχυνε, καὶ τὸ ἀκάθεκτον αὐτῶν κατεύνασεν· ὡς δὴ καὶ ἡ περὶ τὸν αὐτὸν περίπου καιρὸν τοῦ μαντείου τῶν Δελφῶν, καὶ τοῦ ναοῦ αὐτοῦ διὰ τοὺς ἐκεῖ γενομένους σεισμοὺς κατάπτωσις ἀπήυδησε τὸν Ἑλληνισμόν· οὐδὲ πλέον ἀνεγήγερται, καίτοι μέχρι τοῦ θανάτου τοῦ Οὐάλεντος τῷ 382 καὶ τῶν βακχικῶν ὀργίων, καὶ τῶν εἰς τὰ εἴδωλα θυσιῶν δημοσίᾳ τελουμένων, ἴσως δὲ καὶ χρησμῶν διδομένων· φέρεται γὰρ χρησμὸς δοθεὶς ἐν ἐσχάτοις μετὰ τὴν πτῶσιν τοῦ ναοῦ καὶ τὴν ἐρήμωσιν τῶν περὶ αὐτὸν εἰς Ἰουλιανόν, ὡς λέγουσι, τὸν Παραβάτην.

Εἴπατε τῷ βασιλῆϊ, χαμαὶ πέσε δαίδαλος αὐλή.
Οὐκ ἔτι Φοῖβος ἔχει καλύβαν, οὐ μάντιδα Δάφνην,
Οὐ παγὰν λαλέουσαν, ἀπέσβετο καὶ καλὸν ὕδωρ.

Ἀλλ᾽ οὗτος ὁ χρησμὸς δοκεῖ μᾶλλον ἐπίγραμμα ποιηθὲν εἰς τὴν τοῦ ναοῦ ἐρήμωσιν. Θεοδόσιος δὲ ὁ πρεσβύτερος δι᾽ ἐσχάτου θεσπίσματος τῷ 385 (I. L. IX. cod. de Paganis) κατέλυσε τὰ πάντα καὶ διὰ παντός.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

§. 21. Τὸν τοιοῦτον τοίνυν περίπυστον ναὸν ἡ πάγκοινος εὐλάβεια καὶ τὸ σέβας οὐκ ἔσωσεν ἀπὸ τῶν ἀνοσίων χειρῶν καὶ τῆς ὕβρεως τῶν ἱεροσύλων· ἐφ᾽ ὃ καὶ ὁ Στράβων λέγει πολλὰ ὀρθῶς «ἐπίφθονος δ᾽ ὢν ὁ πλοῦτος, δυσφύλακτός ἐστιν, κἂν ἱερὸς ᾖ». Πρῶτος δὲ συλήσας ἱστορεῖται ὁ υἱὸς τοῦ Κριοῦ βασιλέως τῆς Εὐβοίας· μετὰ ταῦτα ὁ Δαναὸς περίπου 1510 πρὸ Χριστοῦ· καὶ πάλιν μετ᾽ αὐτὸν Φύλας βασιλεὺς τῶν Δρυώπων· τέταρτος δὲ μνημονεύεται Φλεγύας ὁ τῶν Λαπίθων βασιλεὺς διαρπάσας τε καὶ κατακαύσας τὸν Ναὸν περὶ τὸ 1451 πρὸ Χριστοῦ κατὰ τὸν Πεταύϊον· καὶ πάλιν μετὰ τὰ Τρωϊκὰ περὶ τὸ 1184 τὸ αὐτὸ ἐπεχείρησεν ὁ τοῦ Ἀχιλλέως υἱὸς Πύῤῥος, ἢ Νεοπτόλεμος. Ἔτι δὲ καὶ κατὰ τὸ 605 πρὸ Χριστοῦ οἱ γειτνιάζοντες Κρισσαῖοι διήρπασαν τὸν ναὸν καὶ κατεπάτησαν τὴν ἱερὰν γῆν, ἐφ᾽ ᾧ καὶ τὴν τῶν περιοίκων ὀργὴν ἐπεσπάσαντο. Καὶ τῶν τοῦ Ξέρξου δέ τινες κατάραντες ἐπεχείρη-

σαν ἱεροσυλίαν περὶ τὸ 480, ἀλλ᾽ ἀπέτυχον, ὡς ἱϛορεῖται, διά τινα θεομηνίαν. Ἐπισημοτάτη μέντοι τῶν ἕνδεκα ἱεροσυλιῶν, ὡς ἀριθμοῦσιν οἱ νεώτεροι, εἰς τὰ ἱστορικὰ τῆς Ἑλλάδος ἡ τῶν Φωκέων ἱεροσυλία περὶ τὸ 365 πρὸ Χριστοῦ, ὡς γενομένη ἀρχὴ καὶ πρόφασις εὐλογοφανὴς εἰς Φίλιππον τὸν Μακεδόνα, ἵνα δουλώσῃ τὴν Ἑλλάδα, καὶ ὁ περὶ τῆς τῶν ἱεροσύλων δῆθεν παιδείας ἐνδίκως γενόμενος πόλεμος ἱερὸς ὠνομάσθη· οὗ πολὺς ὁ λόγος ἐν τοῖς Δημοσθενικοῖς. Ἀλλ᾽ οἱ Ἀμφισσεῖς, ἐξ ὧν γε ἀναφέρει ὁ Δημοσθένης (Περὶ Στεφάνου 79 — 85), οὐ δοκοῦσι συλῆσαι τὸ ἱερὸν, ἀλλὰ μόνον γῆν ἱερὰν σφετερίσασθαι καὶ τοὺς ἀμφικτύονας φονεῦσαι. Ὅθεν δοκεῖ Θεόπομπον τὸν Χῖον μὴ ταύτην τὴν Ἀμφισσέων σύλησιν ἱστορῆσαι ἐν τῷ «Περὶ τῶν ἐκ Δελφῶν συληθέντων χρημάτων» συγγράμματι αὐτοῦ, οὗ μέμνηται ὁ Δειπνοσοφιστὴς (Βιϐ. ΙΒ. ή.)· ἀλλὰ τὰς πρὸ αὐτῆς καὶ μετ᾽ αὐτὴν, τοῦ σοφοῦ (Βαρθελεμὺ) συγγραφέως τῆς τοῦ Ἀναχάρσιδος περιηγήσεως εἰς 30 ἑκατομμύρια φράγκων ἀνάγοντος τὴν τῶν Φωκέων σύλησιν. Οἱ δὲ Γαλάται, οἱ κατὰ τοὺς Πτολεμαϊκοὺς χρόνους καταπατήσαντες τὴν Ἑλλάδα, ἐρημώσαντες καὶ ἐσύλησαν δὶς τὸ ἱερὸν περί τε τὸ 279 καὶ τὸ 114 πρὸ Χριστοῦ, καὐτοὶ ἄφατον πλῆθος εἰς Δελφοὺς κατακοπέντες ὑπὸ τῶν Ἑλλήνων, μεγάλης συνεπιφανείσης θεομηνίας, ὡς ἱστορεῖται, δι᾽ ἀστραπῶν καὶ βροντῶν καὶ ἀθρόων ὑδάτων καταῤῥάξεως· περὶ δὲ τὸ 84 πρὸ Χριστοῦ, οἱ θρᾷκες τήν τε χώραν διήρπασαν καὶ τὸν ναὸν ἐνέπρησαν, οὐδὲ γνωϛὸν πῶς καὶ παρὰ τίνος ἐπεσκευάσθη, ἂν μὴ εἴποις μερικὴν τὴν ἐρήμωσιν, ὡς ἀναφέρει ὁ Εὐσέβιος (Προπαρ. Εὐαγ. Γ. 2) «Τὸ μέν γε Δελφικὸν χρηστήριον τρίτον ὑπὸ Θρακῶν ἐμπρησθῆναι κατέχει λόγος». Βέβαιον ὅμως ὅτι ἐπὶ Πλινίου τοῦ πρεσβυτέρου, ἤτοι πρὸ τῶν 70 μετὰ Χριστὸν πάλιν ὁ ναὸς ἦν πλούσιος ἀναθήμασι, καὶ θαυμαστὸν ὅσον κεκαλλωπισμένος· ἱϛορεῖ γὰρ (Histor. Natur. L. XXXJV. c. VIJ.) Rhodi etiamnum tria milia Signorum esse Manutius ter consul prodidit; nec pauciora Athenis, Olympiæ, superesse creditur « ἔτι καὶ νῦν ἐν Ῥόδῳ τρισχιλίους Ἀνδριάντας εὑρισκομένους ὁ τρὶς ὑπατεύσας Μανούτιος ἱστόρηκεν, οὐθ᾽ ἧσσους ἔν τε Ἀθήναις καὶ Ὀλυμπίᾳ καὶ Δελφοῖς ἀπολελεῖφθαι ἡγητέον». Καίτοι ἄλλως ὁ Στρά-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

δων συγκρίνων τὰ καθ' ἑαυτὸν πρὸς τὴν ἀρχαίαν λαμπρότητα καὶ πολυτέλειαν « νῦν γέ τοι, λέγει ( Βιβ. θ'. ), πενέστατόν ἐστι τὸ ἐν Δελφοῖς ἱερὸν· χρημάτων δὲ χάριν, τῶν ἀναθημάτων τὰ μὲν ἦρται, τὰ δὲ πλείω μένει » (*). Δεῖγμα δὲ τῆς ἀληθείας τῶν ὑπὸ Πλινίου ἱστορουμένων τὸ τὸν Νέρωνα, ὃς κατὰ τὴν ἱστορίαν Δίωνος τοῦ Κασσίου (Ῥωμ. Ἱς. ξγ'. 14) «Τὸ μαντεῖον Ἀπόλλωνος κατέλυσεν ἀνθρώπους εἰς τὸ στόμιον, ἐξ οὗ τὸ ἱερὸν πνεῦμα ἀνήει, σφάξας», περὶ τοὺς αὐτούς που χρόνους περιηγούμενον τὴν Ἑλλάδα: τῷ 66 μετὰ Χριστὸν μεταγαγεῖν εἰς Ῥώμην ἀπὸ Δελφῶν ἐκλεκτοὺς ἀνδριάντας χαλκοῦς πεντακοσίους πάντας. Ἀλλὰ καὶ οὕτω πάλιν ἐπίτε Πλουτάρχου περὶ τὸ 125 ἀπὸ Χριστοῦ), καὶ ἐπὶ Παυσανίου (περὶ τὸ 160) ὁ ναὸς ἦν πλήρης θαυμασίων ἀριστουργημάτων· ἅπερ χρόνῳ τε καὶ τῇ τοῦ χριστιανισμοῦ στερεώσει, πάσῃ μηχανῇ καὶ πάσῃ τῇ σπουδῇ συγκαταφρονουμένων τῶν καλῶν τεχνῶν, ἐσυλήθησαν, καὶ ἢ ἰδίᾳ ἢ κελεύσματι ἀρχῆς ἐκολωβώθησαν, συνετρίβησαν παραλόγῳ ζήλῳ, μηδόλως τιμωμένης τῆς τῶν ἔργων ἀκριβείας, καὶ τέλος ἐπὶ Θεοδοσίου παντελῶς κατελύθησαν, καὶ πρότερον καὶ δὴ καὶ τότε πολλῶν ἀναθημάτων μετακομισθέντων ἐνταῦθα εἰς Κωνσταντίνου, ἐν οἷς, ὡς ἔφημεν, καὶ τὸ σύμπλεγμα τῶν ὄφεων, καὶ ὁ ἐπ' αὐτῷ τρίπους ὢν ἴσως ὁ τῆς Πυθίας.

§. 22. Δοκεῖ τοίνυν τὸ ΕΙ, ὅπως ἐπανέλθωμεν, ὅθεν δὴ καὶ παρεξεβλήθημεν (§. 14) ἀνέκαθεν καὶ διηνεκῶς ἐπιγεγραμμένον ὀφθῆναι εἰς τὸν Ναόν, οὐδ' ἄγνωστος ἦν ἡ ἀνατολικὴ προφορὰ αὐτοῦ ἸΑΩ παρὰ τοῖς ἐν αὐτῷ ἱερεῦσι, μεθηρμωσμένη ἐπὶ τὸ ἑλληνικώτερον ΙΑ,Ω, καὶ ὑπὸ τοῦτο τὸ ὄνομα ἐμυοῦντο τὴν Ἑνότητα τῆς θείας φύσεως ἢ τοῦ Θεοῦ τοῦ ἀληθινοῦ ἐν τοῖς μυστηρίοις. Οὕτω γὰρ δοξάζει ὁ ἐπίσκοπος τοῦ Γλοκέστρου (Glocester) Οὐαρβύρθων (Warburthon) παρὰ τῷ Ἀββᾷ Βεργιέρῳ Abbé Bergier Traité de la vraie Religion Tom. I Art. V. § XIX.). Τρία γάρ τινα λέγει

---

(*) Ἴσως ἐγράφετο (εἰκάζουσιν ἐκ τοῦ, πενέστατον) «πενέστατόν ἐστι τὸ ἐν Δελφοῖς ἱερὸν, χρημάτων γε χάριν· τῶν δ' ἀναθημάτων τὰ μὲν ἦρται, τὰ πλείω, τὰ δὲ μένει. » Τοιαύτην φράσιν ἔχει καὶ ὁ Δημοσ. (Περὶ Στεφ. νά) « τοὺς μὲν τὰ δίκαια ποιεῖν ἠνάγκασα, τοὺς πλουσίους, τοὺς δὲ πένητας ἔπαυσα ἀδικουμένους ».

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τὰ ἐν αὐτοῖς διδασκόμενα. ά. Τὴν ἀρχὴν τῆς Κοινωνίας· β΄. Τὸ δόγμα τῆς μελλούσης Κρίσεως καὶ Ἀνταποδόσεως. γ΄. Τὴν πλάνην τῆς Πολυθεΐας καὶ τὴν ἀλήθειαν τῆς τοῦ Θεοῦ Ἑνότητος. Τοῦτο δὲ τὸ ἔσχατον μαρτυρεῖται καὶ ἱστορικῶς ἀπὸ τῶν λόγων τοῦ Μαντείου. Παρὰ γὰρ Μακροβίῳ ( Saturn. Lib. I. c. X. ) εὕρηται χρησμὸς δοθεὶς ἐκ τοῦ Μαντείου Ἀπόλλωνος τοῦ Κλαρίου (ὅπερ ἦν ἀπήχημα πυθικῶν μαντευμάτων) περὶ τοῦ Ἰαὼ Θεοῦ τοιόςδέ τις.

Ὄργια μὲν δεδαῶτας ἐχρῆν νηπευθέα κεύθειν·
Ἐν δ᾽ ἀπάτη, παύρη σύνεσις, καὶ νοῦς ἀλαπαδνός.
Φράζεο τὸν πάντων ὕπατον Θεὸν ἔμμεν Ἰαώ:
Χείματι μὲν Ἀΐδην, Δία δ᾽ εἴαρος ἀρχομένοιο,
Ἠέλιον δὲ θέρεως, μετοπώρου δ᾽ ἁβρὸν Ἴακχον.

Ἐκ τούτου τοῦ χρησμοῦ εἰκάζεται πρεπόντως, ὅτι εἷς τις, μυηθεὶς τὰ μυστήρια, ἐδιδάχθη μὲν ἀποῤῥήτως τὸν Ἰαὼ, μὴ γινώσκων δὲ τίς ποτ᾽ ἦν αὐτὸς, ὡς μηδ᾽ ἀνδριάντα μηδ᾽ εἰκόνα κεκτημένος, ἠρώτα τὸ χρηστήριον· αὐτὸ δὲ πρῶτον μὲν ἐπιπλήττει αὐτὸν ὡς μὴ τηρήσαντα μυστικὴν τὴν τῶν ὀργίων διδασκαλίαν· διότι, λέγει, εἰς τὰ τοιαῦτα, ὡς δυσξύμβλητα καὶ δυσερμήνευτα, εὐκόλως λανθάνεταί τις καὶ ἀπατᾶται· εἶτα δὲ διδάσκει καθολικῶς πως, ὅτι ὁ ΙΑ,Ω. αὐτὸς, περὶ οὗ πυνθάνεται, ὑπέρτατός ἐστι τῶν Θεῶν, ἢ μᾶλλον αὐτὸς μόνος ἀντὶ τῶν λεγομένων πολλῶν καὶ ἐν μέρει θεῶν Αΐδου, Διὸς, Ἀπόλλωνος Ἰάκχου κτλ. Ἐξ αὐτοῦ δὲ τοῦ ΙΑΩ κτητικῶς πως μεμορφωμένον τὸ ΙΑΩΝ ἐγένετο καὶ ἸΑΝΟΣ, θεὸς ἐπίσημος εἰς τοὺς Ῥωμαϊκοὺς μύθους, καὶ χρονικὰ αὐτῶν, τὸν αὐτὸν ἔχων τῷ ἼΩΝΙ μῦθον, πλὴν ὅτι καὶ συγκεχυμένον εἰς ἓν μετὰ τῆς τοῦ Ἀληθοῦς Θεοῦ ἰδέας· ὅθεν, ὡς λέγει ὁ Μακρόβιος (Saturn. I. 9.) «Θεὸς Θεῶν ἐπωνομάσθη» «Ὕπατος Θεὸς» ὡς προέφη τὸ Μαντεῖον· καὶ πάλιν (αὐτ. αὐτ.) Xenon quoque primo Italicôn tradit janum in Italia primum Diis templa fecisse, et ritus instituisse sacrorum; ideo in Sacrificiis præfationem meruisse perpetuam. «Ξένων δὲ ἐν τῷ πρώτῳ Ἰταλικῶν γράφει τὸν Ἰανὸν ἐν Ἰταλίᾳ πρῶτον δειμάμενόν τε ναοὺς θεῶν, καὶ τελετὰς ἀναδείξαντα ἱερὰς, ὅθεν κἂν ταῖς θυσίαις ἱλάσκεσθαι πρῶτον ἀξιωθῆναι».

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὅθεν φαίνεται τὸν Ἴωνα καὶ Ἰανὸν ἢ ἕνα καὶ τὸν αὐτὸν ἱερέα χρηματίσαι ἢ καὶ δύο ἱερεῖς τοῦ αὐτοῦ Θεοῦ ΙΑΩ ἢ יה ἢ ΕΙ καθ' Ἑλλάδα καὶ Ἰταλίαν, ἐξ οὗπερ ἔσχον καὶ τὸ ἐπώνυμον. Τοιαύτης μορφῆς καὶ τὸ ἑλληνικὸν ΠαΙΑΝ αὐτός τε ὁ Ἀπόλλων καὶ ὁ εἰς αὐτὸν ἐνθουσιωδῶς ᾀδόμενος ὕμνος. Ὅθεν ὁ αὐτὸς Μακρόβιος λέγει Sunt qui janum eundem esse atque Apollinem «Εἰσὶν οἱ Ἰανὸν τὸν αὐτὸν εἶναι λέγουσι καὶ Ἀπόλλωνα»· καὶ παρακατιὼν ὁ αὐτὸς janum qnidum Solem demonstrare volunt «Τὸν Ἰανόν τινες Ἥλιον δεικνῦναι ἐπιχειροῦσι». Σημειούσθω, δ' ὅτι τὸ ΠαΙΑΝ οἱ ἀρχαῖοι συνῆπτον ἀχωρίστως τῷ ΙΕ, θειασμῷ ὄντι, λέγοντες «ΙΕ παΙΑΝ» τοῦτο δὲ τὸ ΙΕ οὐκ ἔστιν ἕτερόν τι ἢ τὸ ΕΙ περὶ οὗ ἡμῖν ὁ λόγος ἀναγινωσκόμενον ἢ γραφόμενον, ὡς ἔφημεν, ἀντιστρόφως (§. 5. 6΄.), ὅπερ οὐδ' ὁ Πλούταρχος ὑπώπτευσεν εἰς τὰς πολυειδεῖς αὐτοῦ ἑρμηνείας, οὐδ' ὅσοι τῶν γραμματικῶν ἡρμήνευσαν τὸ ΙΕ παΙΑΝ τῷ «βάλλε Παιάν» δοκιμωτέραν ἐκφέρουσι γνώμην, ἐλέγχεται γὰρ ἀπὸ τοῦ ΙΗ παΙΑΝ, ὃ δὴ καὶ λέγεται, πιθανῶς μὲν ἀφ' οὗ τὸ Ε εἰς τάξιν φωνήεντος ἑλληνικοῦ μετέβη πολὺν χρόνον τὸ Η ἠκολούθει εἶναι σύμφωνον ἤτοι σημεῖον πνεύματος, ὡς διατελεῖ ἄχρι τῆς σήμερον ἐν τῇ Λατινίδι, πιθανωτέρως δὲ ἐκ τοῦ ἑβραϊκοῦ חי ΙΗ. χχάι, τοῦ σημαίνοντος τὸν Ζῶντα (§. 55 σημ. 6) Αἱ μέντοι ἐν τῇ Ἑλληνίδι παράγωγοι λέξεις ἐκ τῆς ΙΑΩΝ φωνῆς μᾶλλον ἢ ἐκ τῆς ΙΑΝΟΣ πεπλασμέναι εἰσί. Διὰ παντὸς γὰρ ἐν τῷ Ἱερῷ καὶ παρὰ τοῖς Ἱερεῦσιν ἦν γνωστὸν τὸ ὄνομα (§. 12.), ἁγνὸν μέντοι καὶ καθαρὸν δέει θρησκευτικῷ, μήπως εἰδωλοποιηθῇ, ὡς ὀψόμεθα ἔπειτα περὶ τοῦ ἀφάτου θείου ὀνόματος (§. 28.) μὴ συχνῶς προφερόμενον ἐξ ἀρχῆς, μηδὲ ἐξεταζόμενον (§. 24.), χρόνῳ δὲ καὶ ἐλησμονήθη· ὅθεν καὶ ἀκουόμενον ἀπὸ ἑβραϊκῶν στομάτων καὶ ἀνατολικῇ τῇ προφορᾷ ἔδοξεν ὄνομα ξενήκουστον ἑβραϊκοῦ τινος θεοῦ ἰδιαιτέρου, ὡς ἀναφέρει καὶ Διόδωρος ὁ Σικελιώτης ἐν τῇ αὐτοῦ Ἱστορικῇ Βιβλιοθήκῃ (Βιβ. ά. μέρ. 2) «Παρὰ δὲ τοῖς Ἰουδαίοις Μωσῆν τὸν ΙΑΩ ἐπικαλούμενον θεὸν προσποιήσασθαι τοὺς νόμους αὐτῷ διδόναι». Καὶ ὀρθῶς πάνυ ἔφη ἐπικαλούμενον, οὐ γὰρ καλεῖται, ἀλλ' ἐπικαλεῖται ΕΙ יה ΙαΧΩ. ΙΕ. Καὶ ὁ Πύθιος δὲ ναὸς, καίτοι φέρων γράμμασι ΕΙ τὸ ὄνομα τοῦ Θεοῦ, πρὸς ὃν ἀφιέρωτο,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

εἰς τοὺς μεταγενεστέρους παντάπασιν ἠγνοεῖτο. Ὥστε καὶ τὸ ὄνομα αὐτοῦ πρόβλημα ἐγένετο.

§. 23. Πολλῶν οὖν ὄντων τῶν ἐν τῇ Γραφῇ θείων ὀνομάτων οἱ θεολόγοι μετὰ τὸν θεῖον Ἱερώνυμον ( ἐπιστ. CXXXVJ. ) ἐν γένει δέκα ἀριθμοῦσι τὰ ἐπισημότερα 1 אֵל 2 אֱלוֹהַּ 3 אֱלֹהֵי 4 אֱלֹהִים 5 אֲשֶׁר אֶהְיֶה 6 אֲדֹנָי 7 עֶלְיוֹן 8 צְבָאוֹת 9 שַׁדַּי 10 καὶ יָהּ οἷς προστίθεται τὸ ἄφατον θεῖον ὄνομα ἑνδέκατον: ἤτοι τὸ יְהֹוָה.

Καὶ περὶ μὲν τῶν λοιπῶν λαλήσομεν ἐν παραρτήματι· ἐνταῦθα δὲ ἑρμηνεύσομεν τὸ 10, ἤτοι τὸ יה, περὶ οὗ ἡμῖν ἐνταῦθα ὁ λόγος: ἢ τὸ ΕΙ, καὶ τὸ 11, ἤτοι τὸ יהוה. Ὧν τὸ πρῶτον καί τοι ἁπλοῦν δοκοῦν ὄνομα βεβαίως ἐκ δυοῖν σύγκειται συλλαβῶν: τοῦ τε יָ Ια δηλονότι μορίου κλητικοῦ πολλῶν ἀνατολικῶν γλωσσῶν, καὶ μάλιστα τῆς Ἀραβικῆς, πολὺν χρόνον χρηματισάσης ἰδιώματος ἐν τῇ Μεσοποταμίᾳ τῶν πρὸ τοῦ Ἰωσὴφ πατριαρχῶν· καὶ τοῦ ה δάσεως ἔχοντος λεπτὴν φωνὴν τοῦ Χ. ἢ πνεύματος. Καί τοι δὲ παρὰ τοῖς σημερινοῖς Ἰουδαίοις μίαν ποιοῦν συλλαβήν: οἷον ΙὰΧ, ἀνέκαθεν δοκεῖ δισύλλαβον, ὥσπερ καὶ ἐκ τοῦ ἀναλόγου ἀραβικοῦ يٰاهو ΙαΧου ἀποδείκνυται, καὶ τότε τὸ ה σημαίνει κατ᾽ ἀναλογίαν τὸ αὐτὸς, ὥστε εἶναι τὸν θειασμὸν, ὦ *οὗτος*, κοινὸν καὶ παρ᾽ Ἕλλησι, παρ᾽ οἷς ἄλλως τ᾽ ἂν εὕροις καὶ τὸ Ε ἐπὶ προσωπικῆς σημασίας, ὥσπερ κἂν τῇ Ἑβραΐδι, οἷον Ἐγὼ· καὶ (Ε) σύ· καὶ Ἐκεῖνος· Εαυτὸν καὶ Εμε κτλ. (§. 6.) Πολλοί τινες ὅμως ὑπολαμβάνουσι μὴ τὸ הוֹא ἢ Ω = Ε (αὐτός)· ἀλλὰ τὸ חיה ( προφ. ΧΧαΙαΧ ) *τὸν ζῶντα* σημαίνειν τὸ ה. Ἀλλὰ περὶ τούτου ἐροῦμεν ἐν τοῖς θείοις ὀνόμασι τοῖς ὑπ᾽ ἀριθμὸν 2, 3, 4. Δύναται δέ τις προσθῆναι ὅτι τὸ ה ἢ Ε σημαίνει τὸ ἁπλοῦν πνεῦμα ( ἵνα ἐνδειχθῇ τὸ ἄϋλον καὶ ἀπροσδιόριστον τοῦ Θεοῦ ) ἤτοι τὴν εἰς ἡμᾶς ἄγνωστον αἰτίαν· διὸ καὶ τὸ ἑλληνικὸν *Θεὸς*, οὐ πάντως ἐκ τοῦ *θέω* τοῦ *τρέχω*, ὡς ἔλεγεν ὁ Πλάτων, οὐδ᾽ ἐκ τοῦ *ἕω* τοῦ ὑπάρχω (εἰ μὴ εἴποις, ὅτι καὶ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐν τῇ Ἑλληνίδι ὡς κἂν τῇ Ἑβραΐδι καὶ Ἀραβίδι, ἧτε ἀντωνυμία καὶ τὸ ὑπαρκτικὸν ῥῆμα συμπίπτει), ἀλλ᾽ ἐκ τοῦ Ε, τοῦ τὴν τριτοπροσωποῦσαν ἑνικὴν οὐσίαν σημαίνοντος, ὡς καὶ πάντα τὰ ἀνατολικὰ ἔθνη δηλοῦσι τοῦτο. Πιθανὸν δὲ τὴν τοιαύτην ὀνομασίαν τοῦ θείου γενέσθαι πρῶτον ὑπὸ τῶν ἀρχαιοτάτων ἐπηλύδων εἰς Ἑλλάδα Πελασγῶν· οἵτινες, ὡς μανθάνομεν ἐκ τῆς ἱςορίας τοῦ Ἡροδότου (Β΄.) ἐλάτρευον θεὸν, οὗ τὸ ὄνομα ἠγνόουν. Δοκεῖ δ᾽ ὅτι εἰς τοῦτο τὸ Ε καὶ ἀνέκαθεν ἐν τῷ ἑλληνισμῷ καὶ ἐσχάτως ἐν τῷ χριστιανισμῷ ἀντικατεστάθη τὸ Α. ἐκ τῆς ἑβραϊκῆς προφορᾶς· καὶ ἐν μὲν τῷ χριςιανισμῷ πρόδηλον, ὅτι τοῦθ᾽ οὕτως ἔχει: τὸ γὰρ Ἑβραϊκὸν הַלְלוּיָהּ ἔτι ἀπὸ τῶν Πτολεμαϊκῶν χρόνων ΑΛΛηλοΥΙΑ μετεγράφη: ἤτοι τὸ ἑβραϊκὸν ה ἢ Ε μετηνέχθη διὰ τοῦ Α. ἐν δὲ τῷ Ἑλληνισμῷ ἀνέκαθεν ΙΑ ἐλέγετο, ὅθεν ὁ Ἡσύχιος « Ἰακὴ, βοὴ, καὶ ἼΑ φωνὴ, ἣν οἱ τῷ Βάκχῳ θύονται κτλ. » Τὰ δὲ δύο αὐτὰ γράμματα, ἐπειδή εἰσι *μητέρες ἀναγνώσεως* אִמּוֹת לְמִקְרָא ὡς προσαγορεύουσιν οἱ ἀνατολικοὶ τὰ σύμφωνα, ὠνομάσθη πιθανῶς καὶ ὁ Ἴακχος *διμήτωρ* οἱονεὶ διγράμματος.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Κλῦθι μάκαρ Διὸς υἱ᾽ ἐπιλήνιε Βάκχε Διμάτωρ.

(Ὀρφ. ὕμν. Λυσίου Ληναίου.)

Τοῦτο δὲ τὸ ὄνομα γραφόμενον παρὰ τοῖς Σπαρτιάταις ἐκ ξύλων (§. 3.) νομίζω εἶναι τὰ *δόκανα* τῶν Διοσκούρων, ὄντα ἀφιδρύματα· οὕτω γὰρ ὁ Πλούταρχος ἐν τῷ περὶ Φιλαδελφίας « Τὰ παλαιὰ τῶν Διοσκούρων ἀφιδρύματα οἱ Σπαρτιᾶται δόκανα καλοῦσιν· ἔστι δὲ δύο ξύλα παράλληλα δυσὶ πλαγίοις ἐπιζευγνύμενα, καὶ δοκεῖ τῷ φιλαδέλφῳ τῶν θεῶν οἰκεῖον εἶναι τοῦ ἀναθήματος τὸ κοινὸν καὶ ἀδιαίρετον. » Τὸ δὲ σχῆμα εἴη ἂν οἷον ὁρῶμεν τὸ σημεῖον τῶν Διδύμων τὸ [Σχ. 4.] δυνάμενον τὰ δόκανα, καὶ ὂν τὸ Ε συνημμένον τῷ Ι, διὰ δὲ τὸ ἀχώριςον τῶν γραμμάτων יָהּ ὠνομάσθησαν καὶ ἀδελφοὶ, οἵτινες φέροντες τὸ φρυγικὸν πηλίδιον ἱερογλυφικῶς λέγονται (ὡς Καβεῖροι) θεῖοι· ὃ δὴ καὶ διὰ τοῦ ἐπιγραφομένου αὐτοῖς ἀστέρος ἐμφαίνεται, τοῦ σημαίνοντος, πάλιν ἐν τῇ Ἱερογλυφικῇ, θεότητα (Ὡραπ. Β΄. ά. ) καὶ ἀληθῶς ὄντος αὐτοῦ τοῦ יה κατὰ

γραφὴν Κουφικὴν, καὶ ἀκούοντος παρὰ τοῖς ἀρχαίοις *πεντάγραμμον* ἢ *πένταλφον*· τοσοῦτο αἰνετὸν παρὰ τοῖς περὶ τὸν Πυθαγόραν, καὶ ἐπιγραφόμενον εἰς τὰς ἐπιςολὰς καὶ πάντα τὰ συμβόλαια αὐτῶν, ὥσπερ καὶ παρὰ τοῖς Μοχαμεδανοῖς τὴν σήμερον τὸ هو. Τὸ γὰρ ی γράφοντες Κουφικῶς [Σχ. 5. 6.] ἐξ ἀριστερῶν ἐπὶ τὰ δεξιὰ καὶ τἀνάπαλιν συγκλινούσαις ταῖς γραμμαῖς καὶ συνεφαπτομέναις τὰ ἄκρα σημεῖα, ποιοῦσι σχῆμα [Σχ. 7. 8.], οἷς ἐπεντιθεμένου συμμετρικῶς τοῦ Κουφικοῦ [Σχ. 9.] ἀντιστοίχου τῷ ה σχηματίζεται ἀκριβῶς τὸ [Σχ. 10] οὗ αἱ γραμμαὶ συγκεφαλαιοῦνται εἰς τὸν πέντε ἀριθμὸν, μεγάλας ἔχοντα τὰς ἀρετὰς κατὰ τοὺς περὶ Πυθαγόραν καὶ Πλάτωνα· διὰ τοῦτο εὔρηται καὶ παρ' Εὐσεβίῳ (Προπαρ. Εὐαγ. ΙΑ. 13) «τῆς μὲν οὖν σπουδαίας ἐπιστολῆς ὁ Θεὸς ἄρχει». Τὸ τοίνυν ὄνομα τοῦ Θεοῦ יה ἐπεσημαίνετο εἰς αὐτοὺς διὰ τοῦ λεγομένου κοινῶς ἀστέρος· κατὰ δὲ τὴν ῥηθεῖσαν μορφὴν ἔστιν αὐτὸ τὸ ὄνομα τοῦ Θεοῦ συνημμένον τῇ *Ἰδέᾳ* καὶ τῇ *Ὕλῃ* ἐν πέρατι, ὧν τὸ σύναμα λέγεται *Μορφή*· ἤγουν ὁ Θεὸς ἐν δημιουργίᾳ τῇ διὰ σχημάτων γεωμετρικῶν, κατὰ Πυθαγόραν, συντελεσθείσῃ· τὸ τῶν ἁπάντων τούτων τῶν Πυθαγορικῶν τε ἅμα καὶ Πλατωνικῶν θεωρημάτων ἐμπεριληπτικὸν ἔμβλημα: τὸ πεντάγραμμον, πῶς οὐ θαυμαστόν; Μάλιστα διὰ τὴν ἰδιότητα, ὁπόθεν ἂν θεωρῆται, τοῦ ἐμφαίνειν τὴν Ἰδέαν ἐπὶ τῆς Ὕλης: ὅ ἐστι τὴν Μορφὴν καὶ τὰ στοιχεῖα: ἤγουν τὰ τρίπλευρα κτλ. καὶ, ὅπερ μέγιστον, ταῦτα πάντα ἐκ Θεοῦ καὶ διὰ Θεοῦ καὶ ἐν Θεῷ. Τοῦτο δὲ σημαίνει καὶ τὸ αὐτῶν Αἴνιγμα ΕΝ. ΔΥΟ: ἤγουν ὁ Θεὸς τὸ ΕΝ· ἡ Ἰδέα καὶ ἡ Ὕλη τὰ ΔΥΟ καὶ ταῦτα κατὰ τὴν αὐτῶν ὑπόληψιν συναΐδια, ὡς μαρτυρεῖ καὶ ὁ Θεολόγος Γρηγόριος (Λογ. λέ. σελ. 569) «οὐκ ἂν μὲν συγχωρήσαιεν εἶναι μόνου Θεοῦ τὸ ἀγέννητον, καὶ τὴν Ὕλην καὶ τὴν Ἰδέαν συνεισάγοντες ὡς ἀγέννητα.» Αὐτὸ δὲ τοῦτο σημαίνει καὶ ἡ Πλατωνικὴ ἐκείνη ἔκφρασις ἡ παρὰ τῷ Ἰουστίνῳ Μάρτυρι (Ἀπολ. Β'.) «Τὴν πρώτην Θεοῦ δύναμιν κεχιᾶσθαι ἐν τῷ παντί.» Τοῦτο τοίνυν τὸ πεντάγραμμον διὰ τὸ ἔχειν πάντως τὸ ὄνομα τοῦ Θεοῦ μέχρι τῆς σήμερον πολλὴν ἔχει τὴν θεουργικὴν δύναμιν ἔντε τοῖς φυλακτηρίοις καὶ ἐν τοῖς τελέσμασι τῶν Ἀσιανῶν, οὐ μόνον δὲ, ἀλλὰ καὶ πάνθ' ὅσα θαυμάσια ἐπιμυθεύονται εἴς τε τὸν Σολωμόντα καὶ εἰς τὴν τοῦ ἐν Ἱεροσολύμοις

3*

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ναοῦ οἰκοδομὴν, ἀπονέμουσιν εἰς τὴν αὐτοῦ δύναμιν, ὄντος ἤδη κεχαραγμένου ἐπὶ τῆς σφραγῖδος, διὸ καὶ ὀνομάζεται· مهر سليمان Σφραγὶς Σολωμόντος· ὅθεν καὶ ἐπ᾽ αὐτῇ τῇ ἐννοίᾳ ἐν τῇ αὐλῇ τοῦ Βυζαντίου ἐν τῇ ὑπατικῇ Ὑψηλῇ Πόρτᾳ καὶ ἐν ταῖς τῶν ὑπατευσάντων οἰκίαις εὑρίσκεται γεγραμμένον τὸ

انه من سليمان وانه

ἀλληγοροῦν τήν τε νόμιμον διαδοχὴν καὶ τὴν δύναμιν τῆς σφραγῖδος, ἣν παρακατατίθεται αὐτοῖς ὁ Σουλδᾶνος. Εἰώθασι δὲ γράφειν μόνον τὸ γράμμα و ἤτοι τὸ ληκτικὸν γράμμα τοῦ یاهو παχύτατον καὶ μέγιςον, ἐν αὐτῷ δὲ γράμμασι μικροῖς καὶ ἑτεροχρόοις γράφουσι τὸ كل شيء قدير *Παντοδύναμος*. ΚυΛι ΣεΥουν ΚαΔήΡ. Ἄξιον παραθῆναι ἐνταῦθα καὶ τὰ τοῦ Λουκιανοῦ (Ὑπὲρ τοῦ ἐν τῇ προσαγορεύσει πταίσματος) περί τε τετραγωνισμοῦ καὶ τετρακτύος (περὶ ἧς ἐν τοῖς ὕςερον) λέγοντος οὕτως· «Ἅπαντες γοῦν οἱ ἀπ᾽ αὐτοῦ (τοῦ Πυθαγόρου) ἀλλήλοις ἐπιστέλλοντες, ὁπότε σπουδαῖόν τι γράφοιεν, ΥΓΙΑΙΝΕΙΝ εὐθὺς ἐν ἀρχῇ παρεκελεύοντο, ὡς καὶ αὐτὸ ψυχῇ τε καὶ σώματι ἁρμοδιώτατον, καὶ συνόλως ἅπαντα περιειληφὸς τἀνθρώπου ἀγαθά. Καὶ τό γε τριπλοῦν αὐτοῖς τρίγωνον τὸ *δι᾽ ἀλλήλων*, τὸ πεντάγραμμον, ᾧ συμβόλῳ πρὸς τοὺς ὁμοδόξους ἐχρῶντο, ΥΓΕΙΑ πρὸς αὐτῶν ὠνομάζετο· καὶ ὅλως ἡγοῦντο τῷ μὲν ὑγιαίνειν τὸ εὖ πράττειν καὶ τὸ χαίρειν εἶναι, οὔτε δὲ τῷ εὖ πράττειν, οὔτε τῷ χαίρειν πάντως καὶ τὸ ὑγιαίνειν. Εἰσὶ δὲ οἳ, καὶ τὴν τετρακτὺν τὸν μέγιστον ὅρκον αὐτῶν, ἣ τὸν ἐντελῆ αὐτοῖς ἀριθμὸν ἀποτελεῖν, ὃν δὴ καὶ ΥΓΕΙΑΣ ΑΡΧΗΝ ἐκάλεσαν, ὧν καὶ Φιλόλαός ἐστι». Τὸ ὀνομάζεσθαι λοιπὸν πρὸς τῶν Πυθαγορικῶν τὸ πεντάγραμμον ΥΓΕΙΑ σημαίνει ἀρκετὰ ἐπισήμως, ὅτι αὐτό ἐστιν, ὡς εἰκάζομεν, τὸ ΙΑ, καὶ ἐπειδὴ ὁ κοινὸς λαὸς τὴν ὑγείαν ΙΑ ὀνομάζει καὶ ὠνόμαζεν, οἱ Πυθαγορικοὶ ὡς τὰ πάντα μυστικίζοντες καὶ καλύπτοντες συμβόλοις, μετεχειρίζοντο ἐπ᾽ αὐτὸ τὸ ὄνομα τῆς ΥΓΕΙΑΣ· ὅθεν παρὰ τῷ ἡμετέρῳ ὄχλῳ ΙΑ καὶ ΧΑΡΑ καὶ ἐν ταῖς ἐπιστολαῖς ΙΑ καὶ ΧΑΙΡΕΤΗΜΑΤΑ. Συμπίπτει δὲ καὶ τὸ ΙΑω πρὸς τὸ ΠαΙΑν καὶ ΠΑΙων. Μέχρι δὲ τῆς σήμερον τὸ ῥηθὲν πεντάγραμμον, ἢ διὰ τὸ ὄνομα τοῦ Θεοῦ, ὅπερ ση-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

μαίνει, ἢ διὰ τὴν προσηγορίαν, ἣν ἀπονέμουσιν, ΙΑ ἢ ΥΓΕΙΑ γράφουσιν ἐπὶ τὰς Φλεγμονὰς μάλιστα τὰς τῆς παρωτίδος παρὰ τοῖς παισὶ (orecchioni), ὡς μέσον θεραπείας, διὸ καὶ τοῦ παθήματος τὸ ὄνομα ΥαΖΜΑ γνωρίζεται· ἔθος δὲ αὐτοῖς τὸ ἐγγράφειν καὶ γράμματα μυστικὰ ἢ Ἐφέσια εἰς τὰ διαστήματα τὰ ἀπολαμβανόμενα μεταξὺ τῶν γραμμῶν τοῦ πεντάλφου. Καὶ εἰκότως νομίζω ταύτην εἶναι μίαν παναρχαιοτάτην θεραπείαν τῶν πρώτων καθ' Ἑλλάδα ἰατρῶν, ὄντων ἢ Φοινίκων ἢ Αἰγυπτίων ἢ καὶ Πελασγῶν, γιγνωσκόντων πως τὸν Θεὸν יה ἢ ΙΑ ἢ ΙΕ, διὸ καὶ μιγνύντων ἢ ἐπικαλουμένων αὐτὸν, ἢ καὶ ὡς τέλεσμα μεταχειριζομένων τὸ ὄνομα αὐτοῦ· « Οἱ δὲ Αἰγύπτιοι οὐκ ἰδίᾳ μὲν τὰ ἰατρικὰ, ἰδίᾳ δὲ τὰ ἀστρολογικὰ, καὶ τὰ τελεσικά· » ἀλλ' ἅμα πάντα συνέγραψαν (Σχολ. εἰς Πτολεμ. Τετράβ. Α) καὶ πάντως ὁ αὐτὸς νόμος ἐπεκράτει καὶ ἐν τῇ Ἑλλάδι

> Ἄπις γὰρ ἐλθὼν ἐκ πέρας Ναυπακτίας
> *Ἰατρομάντις* παῖς Ἀπόλλωνος, χθόνα
> Τήν δ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων.
> (Αἰσχ. Ἱκετ. 266.)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τὸ δὲ πεῖθόν με, ὅτι παναρχαιοτάτη αὕτη ἡ τελεστικὴ ἰατρικὴ καθ' Ἑλλάδα, ἔστι μάλιστα τὸ εἶναι ἀπαιτουμένην εἰς ἀσφαλῆ ἐνέργειαν τοῦ γράμματος τὸν γράφοντα ἀριστερόχειρα, ἴσως ὅτι ἀρχῆθεν ἐπαριστέρως ἔγραφον ἔτι καὶ τῶν Ἑλλήνων οἱ ἀρχαιότατοι· ὅθεν ἔμεινεν ἡ ἰδέα τοῦ ἀριστεροῦ ὡς ἰαματική. Ἡ δὲ ἰδέα τοῦ *πέντε*, ὡς ἔχοντος ἀρετὴν, βεβαίως ἐπήγασεν ἐξ αὐτοῦ τοῦ Πενταγράμμου. Καὶ οἱ δρουΐσιοι μέχρι τῆς σήμερον, σεμνύνοντες τὸ ἱερὸν ὄνομα عل ΑΛΥ. γράφουσι σχῆμα οἱονεὶ πεντάγραμμον, οὕτω [Σχ. 11.] Ἐκ τούτου καὶ τὰ πέντε δάκτυλα, ἢ ἡ παλάμη κάθετος δείκνυσιν *ὅρκον*, ἢ πίστωσιν βεβαιότητος, ἢ ὁμολογίαν (Ὡραπ. Α'. κζ'.)· διὸ καὶ οἱ ἡμέτεροι ἀρχαῖοι ζωγράφοι ἔγραφον τοὺς μάρτυρας καὶ τοὺς ὁσίους ἔχοντας τὴν παλάμην κάθετον, οὗπερ οἱ νεώτεροι μὴ γνωρίζοντες τὴν σημασίαν, παραμελοῦσι, κακῶς ποιοῦντες, τὴν μίμησιν. τοῦτο ἑρμηνεύει ἄριστα καὶ τὴν ἀπορίαν τοῦ Καΰλου Ε. 55. ἀρ. 4. Ἀλλὰ καὶ ἡ Μούντζα! καὶ τὸ λεγόμενον τὰ *πέντε*! αὐτὸ τοῦτο τὸ

πεντάγραμμον σημαίνουσιν, ἐκλαμβανόμενον ἐπὶ κατάρᾳ. Ἐπ' αὐτῷ οἱ ἀνατολικοὶ ἔχουσι καὶ τὴν παλάμην ἐζωγραφημένην κάθετον, ὡς ἔφημεν, καὶ ἐν αὐτῇ ἐγγεγραμμένα πολλὰ τῶν τῆς ὁμολογίας τῆς πίστεως αὐτῶν· ἢ καὶ ἁπλῶς μελανὴν παλάμην, ὡς ἱερὸν πινάκιον ἀπαρτῶσιν ἐν τοῖς δωματίοις. Δοκεῖ δὲ τὸ Ε ἢ διὰ τὸ σημαίνειν τὸ *πέντε* ἢ *πεντάγραμμον* ἤ, ὡς πιστεύω, διὰ τὸ σημαίνειν τὸ Ε ἢ ה αὐτὸ τὸ יה ἢ ياهو ἣν καὶ σύμβολον τοῦ Ποσειδῶνος φέροντος ἐπὶ τῆς ἄκρας τοῦ σκήπτρου αὐτὸ τὸ Ε διαπεπαρμένον τῷ Ι, οὕτω [Σχ. 12.]· ὁ Ποσειδῶν οὐχ ἕτερός τις ἐστιν ἢ αὐτὸς ὁ Ε ἢ יה ἢ ΙΑΩ. Τοιοῦτο σκῆπτρον φέρει ἐστινότε (Maffei Gem. Tom. II. Tab. 3.) καὶ ὁ Αἴδης, ὃς ὡμολόγηται ὑπὸ τοῦ Μαντείου εἶναι αὐτὸς ὁ יה αὐτὸς ὁ Ε ἢ ὁ ΙΑΩ μερικῶς καὶ ἀνθρωπίνως θεωρούμενος· οἱ δὲ πλεῖστοι θεωροῦσιν αὐτὸ ὡς σκῆπτρον θαλασσοκρατίας. Ἐπειδὴ δὲ τὸ πεντάγραμμον σχηματίζεται ὡς ἀστὴρ [Σχ. 13.] ἢ ὡς ἀκτινοβόλος ἥλιος σημαῖνον τὸ יה ἢ ΕΙ προσεσημείουν καὶ τὸ Ἑβραϊκὸν στοιχεῖον ( ἢ כ δι' οὗ γράφεται τὸ כל τὸ, πᾶν ἢ πάντα, ὅπερ ἐσήμαινε τὸ παντοδύναμον ὡς τὸ τῶν ἀνατολικῶν كل شى قدير αὐτὸ δὲ τὸ γράμμα ἔχει μεγάλην τὴν ὁμοιότητα πρὸς τὸ τῆς σελήνης σχῆμα· ὅθεν ἀνέκαθεν ἐχρημάτισαν ὅ,τε ἥλιος καὶ ἡ σελήνη σύμβολον τοῦ ΕΙ Παντοδύναμος ياهو كل شى قدير ἢ συμβολικῶς [Σχ. 13. 14.] ὅπερ ὁρῶμεν ἐν τοῖς ἀρχαιοτάτοις νομίσμασι, καὶ νῦν εἰσέτι σύμβολον τῆς τουρκικῆς σημαίας ἀναφερόμενον ὡς ἐκ τῆς μορφῆς εἰς τὸν ἥλιον καὶ εἰς τὴν σελήνην. Καὶ ἐπειδὴ ὁ Κάστωρ καὶ ὁ Πολυδεύκης, ὡς προειρήκαμεν, ἐσήμαινον τὸ יה, εἰς αὐτοὺς ἐπεγράφετο ἓν τούτων τῶν σημείων· ὅθεν ὁ μῦθος ὅτι ὁ εἷς αὐτῶν ἔζη ἐν φωτί, ὁ δ' ἕτερος ἐν σκότει· ὥςε εἶναι ἀμφότεροι ἀθάνατοι ἤτοι θεῖοι, ἀλλ' ὁ μὲν φύσει τὸ ה ὁ δὲ θέσει י ὡς ἀνθρώπινον ἐπιφώνημα· οὕτω καὶ τὰ λοιπὰ τῆς μυθολογίας αὐτῶν, οἷον Διόσκουροι καὶ Καβῦροι καὶ σωτῆρες ἐν τῇ θαλάσσῃ κτλ. ἅπερ μακρὸν ἂν εἴη ἑρμηνεύειν ἐνταῦθα. Ἀλλὰ καὶ τὸ μυθεύεσθαι ἐξ ᾠοῦ σημαίνει τὴν θειότητα. Καὶ ταῦτα μὲν περὶ τοῦ ΙΕ ἢ ΙΗ ἢ ΕΙ ἢ יה ἢ ΙΑ. Οὗ ἡ χρῆσις, ὡς εἴπομεν, κοινοτάτη ἐν τῇ Γραφῇ καὶ ἐν τῇ Ἐκκλησίᾳ. Ἐν ᾗ τὸ ΑΛ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΛΗΛΟΥ-ΙΑ, ὁ θειότατος ὕμνος, ἀχώριστός ἐστιν ἀπὸ πάσης δεήσεως, καὶ εὐχῆς καὶ μυστηρίου. Ἀλλὰ καὶ παρὰ τοῖς ἀρχαίοις προγόνοις ἡμῶν τὸ ΕΛΕΛΕΥ ἦν θειασμὸς διεφθαρμένος ἐκ τοῦ אללו Ἀλληλου ἤτοι ΑΛΛεΛοΥ ἢ καθ' ἑτέραν προφορὰν ἐλλελέῳ. Σημειούσθω δὲ καὶ τοῦθ' ὅτι οἱ τῶν Ἑβραίων παῖδες τιμῶντες τοῦτο τὸ θεῖον ὄνομα, γραφόμενον יה ἀποφεύγουσι διηνεκῶς τὸ γράφειν τὸν ἀριθμὸν 15 ἢ ΙΕ διὰ τοῦ יה, ὡς ἀπαιτεῖ ἡ τοῦ ἀλφαβήτου ἀριθμητικὴ δύναμις, γράφουσι δὲ טו ἤτοι θϛ. ὅ ἐστιν ἐννέα καὶ ἕξ. Ἀλλ' ἐνταῦθα παύομεν τὸν περὶ τούτου λόγον, καὶ ἐρχόμεθα εἰς τὸ πανύμνητον καὶ πάνσεπτον ὄνομα τὸ

יהוה

§. 24. Ἀφέντες ἀνὰ μέρος πᾶσαν τὴν περὶ τούτου τοῦ ὀνόματος δεισιδαίμονα ἐποχὴν τῶν πολλῶν, ἐροῦμεν ἐλευθέρως τὴν ἡμετέραν γνώμην· ὅτι ἡ γραφὴ αὐτοῦ יְהֹוָה δίδωσι προφορὰν εἰς τὰ Ἑλληνικὰ ϛοιχεῖα ΙεΧοΥαΧ (τοῦ Χ καταχρηστικῶς ἐμφαίνοντος τὴν δασεῖαν φωνὴν Ε ἢ ה)· καὶ ὅτι οὐ μᾶλλον ἁπλοῦν ἐστιν ὄνομα, ὡς οἱ πλείους, καὶ μάλιϛα οἱ ἐκ τῆς συναγωγῆς δοξάζουσιν, ἢ σύνθετον ἔκ τε τοῦ יה καὶ יו (προφ. ΙαΧ. καὶ ΥαΧ)· ἐν ᾧ, ὥσπερ τὸ Ια יָ ἐπικλητικὴν ἢ προσφωνηματικὴν ἔχει σημασίαν, οὕτω καὶ τὸ Υα וְ ὁρκωτικὴν ἢ βεβαιωτικὴν δύναμιν, πολλάκις δὲ καὶ μεγαλυντικήν, ὡς κἀν τῇ ἡμετέρᾳ ἁπλῇ διαλέκτῳ ἐτηρήθη ἡ αὐτὴ σημασία εἰς τὸ *μὰ* «μὰ τὸ ξύλον, ὅ,που τὸν ἔδωκαν» οἷον ἡλίκον, καὶ χυδαϊκώτερον «ματαχεῖνο» ἤγουν ἡλίκον ἐκεῖνο· ὥσθ' ἡ σημασία τοῦ יהוה εἴη ἄν· ὢ *οὗτος* καὶ (ἢ μὴν) οὗτος, καὶ ἡ Ἐκκλησία, ἀμήν)· ἢ ὡς εἶπεν ἐκ τοῦ Δαυῒδ (Ψαλ. 101· καὶ ὁ μακάριος Παῦλος Ἑβρ. Α. 12) «Σὺ ὁ αὐτὸς εἶ, καὶ τὰ ἔτη σου οὐκ ἐκλείψουσιν·» ὁ δὲ Σκαλίγερος (Exerc. 342. 2) «Αὔταυτος». Πάντα δὲ ταῦτα συντρέχουσιν ὀνοματίσαι τό,τε αὐθύπαρκτον καὶ τὸ διηνεκὲς ἢ αἰώνιον τοῦ Θεοῦ.

§. 25. Γνωστὸν δὲ ὅτι ἐν ταῖς τῶν ἀνατολικῶν γλώσσαις τὸ و ἔχει ὁρκωτικὴν δύναμιν καὶ βεβαιωτικήν, ὅθεν καὶ τοιῷδε ὀνόματι προσαγορεύεται, ἤτοι واو قسمی. Καὶ δοκεῖ τοῦτο τὸ Fαυ ἢ و ἢ ו ἢ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ve ἐστι τὸ ἐν τῇ παναρχαιοτάτῃ Λατινίδι σωθὲν ἡμῖν Vejovis, ὅπερ ὡς ἱερώτερον καὶ τρομερώτερον εἶχον· καὶ εἰκάζω ἐν αὐτῇ τῇ Ἑλληνίδι τὸ *βέβαιον* οὐκ ἐκ τοῦ βάω ὡς νομίζουσιν, ἀλλ᾽ἐκ τοῦ βε τοῦ καταφατικοῦ ἢ ὁρκωτικοῦ , ἢ ו καὶ τὸ δεύτερον ϐ οἷον F δίγαμμα συνάπτον τὴν κατάληξιν. Τὴν δὲ τοιαύτην σημασίαν ἤτοι «Σὺ ὁ αὐτὸς εἶ· » καὶ « Αὐταυτὸς » τῆς λέξεως יהוה δοκοῦσι καὶ οἱ ἀρχαῖοι Ἕλληνες ἢ ἐξ ἱερέων ἢ ἐκ τῶν περιηγητῶν Πυθαγόρου, καὶ Δημοκρίτου κτλ. παραλαβόντες ἐξεφράζοντο, ὡς καὶ ὁ Σωκράτης παρὰ Πλάτωνι (Συμποσ. περὶ τὴν ἀρχὴν τοῦ ἐσχάτου τετάρτου ἔκδ. Βασιλ.) «Αὐτὸ καθ᾽ αὑτὸ μεθ᾽ αὑτοῦ μονοειδὲς ἀεὶ ὄν», οὗπερ ὁ αὐτὸς φιλόσοφος ὅλος γεγονὼς, λέγει διὰ τὸν δυνάμει ἀναγωγικῇ ἐθισθέντα ἅπαξ καθορᾶν τὰ ἀόρατα τοῦ Θεοῦ διὰ τῶν ὁρατῶν ποιημάτων, ὡς λέγει ὁ μακάριος Παῦλος (Ῥωμ. ά. 20), «ἐξαίφνης κατόψεταί τι θαυμαστὸν τὴν φύσιν καλόν.»

§. 26. Καὶ πάντως τὸ יהוה λεκτικῶς μὲν καὶ γραμματικῶς, ἢ μία μόνη ἁπλῆ λέξις, μηδεμίαν ἔχον σημασίαν ἐν τῇ Ἑβραΐδι, περιέχον δὲ τὰ στοιχεῖα, δι᾽ ὧν γράφεται ἐν τῇ αὐτῇ γλώσσῃ ὁ παρῳχηκὼς χρόνος τοῦ ἀρσενικοῦ ὑπαρκτικοῦ ῥήματος הָיָה ἦν, ὁ ἐνεστὼς τοῦ αὐτοῦ ῥήματος הֹוֶה ἐστί, καὶ ὁ μέλλων τοῦ αὐτοῦ ῥήματος יִהְיֶה ἔσται, εἴη ἂν κατ᾽ ἰδέαν τεχνικὸν συλληπτικὸν ὄνομα τοῦ « ἦν ἐςὶ καὶ ἔσται »· ὅθεν καὶ παρὰ τῷ Εὐαγγελιστῇ ἐν τῇ Ἀποκαλύψει ὁ ἦν καὶ ὁ ὢν καὶ ὁ ἐρχόμενος, σημαίνει τὸ πανύμνητον ὄνομα יהוה· διὸ ὡς ὄνομα τεχνικὸν, ἴσως καὶ ἀνεκφώνητον, οὕτως εἰπεῖν, οἷα τὰ ἐν τῇ Λογικῇ σχηματολογίᾳ τῶν συλλογισμῶν ὀνόματα. Καὶ τοῦτο βουλόμενοι οἱ Ο΄. σημᾶναι, τὸ ἐν τῇ Γραφῇ κατὰ τὸ νῦν Ἰουδαϊκὸν κείμενον ויאמר אלהים אל משה אהיה אשר אהיה ויאמר כה תאמר לבני ישראל אהיה שלחני אליכם ὅπερ ἑρμηνεύεται κατὰ λέξιν «Καὶ εἶπεν ὁ Θεὸς πρὸς Μωσῆν Ἔσομαι ὃς Ἔσομαι· καὶ εἶπεν οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ· Ἔσομαι ἀπέσταλκέ με πρὸς ὑμᾶς » τόνδε τὸν τρόπον μετέφρασαν . . . Ἐγὼ Εἰμὶ ὁ ὯΝ· οὕτως

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ, ὁ ὨΝ ἀπέςαλκέ με πρὸς ὑμᾶς». Οὕτω καὶ ὁ Ἱερώνυμος, ἢ διότι κατ' ἐνεστῶτα ἐξέλαβον τὸν κοινὸν καὶ εἰς τὸν μέλλοντα τῶν ἀνατολικῶν γλωσσῶν τύπον, ὃ δὴ καὶ πιςεύω· ἢ διότι τὸ ἐνεςὸς, ἐμπεριέχον ἀκαριαίως τό,τε παρελθὸν καὶ τὸ ἐνεστὸς, καὶ τὸ μέλλον, διὸ καὶ εἰς ἡμᾶς ἀκατάληπτον, οὐδεὶς γὰρ ἂν ἔχοι εἰπεῖν τί τὸ ἐνεστὸς, καί τοι αὐτὸ ὑπάρχον φύσει, καὶ ἐξ αὐτοῦ καὶ ἐν αὐτῷ θεωρουμένοιν ὑποστατικῶς διαφόρῳ τῇ προέσει τοῦ τε παρῳχηκότος καὶ μέλλοντος, ἀνήκει μάλιστα εἰς τὸν Θεὸν, ὡς καὶ ὁ Πλούταρχος ἐν φιλοσοφικῇ θεωρίᾳ ἐσημειώσατο (§. 4. 5). Ἐπειδὴ δὲ ὁ Θεὸς εἶπεν εἰς Μωσῆν τὸ ὄνομα יהוה ΗΥΗΙ εἰς αὐτὸν μόνον ἀποκεκαλύφθαι (§.49), ἄρα τὸ ὄνομα τοῦτο περιέχει τὴν σημασίαν τοῦ ῥηθέντος ἐδαφίου, καὶ ἰδίως τῆς τρισάκις λεγομένης λέξεως אהיה ΗΙΗΑ· ἐν ᾗ ὁρᾶται τρὶς ἐπαναλαμβανόμενον τὸ יה, ἐφ' ὃ καὶ μείζοσι τοῖς γράμμασι σεσημείωται, ὡς ἂν ἔλεγεν· ἐγώ εἰμι ὁ τρισυπόστατος יה, ἢ καὶ ἁρμόζοντες αὐτὸ εἰς τὸ Ἑλληνικὸν, «ΕΙμὶ ὃς ΕΙμί· οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραὴλ ὁ ΕΙμὶ ἀπέσταλκέ με πρὸς ὑμᾶς»· ἐν ᾧ ὁρῶμεν τὸ ΕΙ τρὶς ἐπαναλαμβανόμενον διὰ τὸ τρισυπόςατον καὶ τρισάγιον τοῦ ΕΙ. Ἐκ τούτου καὶ τὸ ἀρχαιότατον ἔθος τῶν Ἑβραίων τοῦ σημειοῦν τὸ πανύμνητον ὄνομα διὰ τριῶν י ΑΙ, οἷον
י μετὰ δὲ τὴν ἔλευσιν τοῦ Σωτῆρος διὰ τὸ τοὺς χριςιανοὺς ἐπιχει-
יי
ρηματίζειν ἐκ τούτου ὑπὲρ τῆς ἐν τῇ μοναδικῇ θεότητι ὁμοουσίου τριάδος τῶν προσώπων, γράφουσι μόνον διὰ δυοῖν י, οὕτω יי, ἄνευ οὐδενὸς ἀποχρῶντος λόγου. Ἀλλ' ὅπως καὶ ἂν ἔχωσι ταῦτα, ἡ ὀνομασία ὁ ὨΝ οὐχ ἧττον θεοπρεπὲς ὄνομα, ὡς ἐμφαῖνον τὴν ἀεὶ ἐνεστῶσαν θείαν ὕπαρξιν· διὸ καὶ ἡ συναγωγὴ ταύτην τὴν ἔννοιαν προσάπτει. Τοιαύτην ἰδέαν τῆς θεότητος ἔσχον καὶ οἱ ἀρχαῖοι Αἰγύπτιοι «Τὸ δ' ἐν Σάει τῆς Ἀθηνᾶς (ἣν καὶ Ἶσιν ὀνομάζουσιν) ἕδος ἐπιγραφὴν εἶχε τοιαύτην «ἐγώ εἰμι πᾶν τὸ γεγονὸς, καὶ ὂν, καὶ ἐσόμενον· καὶ τὸν ἐμὸν πέπλον οὐδείςπω θνητὸς ἀπεκάλυψε» (Πλούταρχ. Ισ. καὶ Ὄσ. σελ. 354. 15. ἔκδ. Reisk). Οὕτω καὶ ὁ Ὀρφικὸς ςίχος.

«Ζεὺς ἦν, Ζεύς ἐςι, Ζεὺς ἔσσεται· ὦ μεγάλε Ζεῦ!».

§. 27. Ἀπόδειξις δ' ὅτι τὸ יהוה ἐκ δυοῖν συλλαβῶν τῆς τε יה

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

(προφ. ΙαΧ) καὶ τῆς וה (προφ. ΥαΧ) σύγκειται, ἐστι καὶ τὸ παρ' Ἕλλησιν ἐξ ἀμνημονεύτων αἰώνων χωρὶς θειαζόμενον Ἴακχε καὶ Ὑάκχε ἢ Βάκχε· ἅπερ συνημμένα ἀποδιδοῦσιν ἀκριβῶς τὸ ΙαΧοΥαΧ ὃ δὴ καὶ ἐν τῷ Ἰόβακχος παρ' αὐτοῖς ἐθειάζετο· τοῦτο γὰρ ἐκ τοῦ ΙΩ ἢ Ιο (ἀνάλογον ΙαΩ ὄντος τοῦ Ο, ἢ Ω ἀντὶ τοῦ ה ἢ ἴσως καὶ τοῦ ו ὡς ὁρῶμεν ἔν τε τοῖς Ἑβραϊκοῖς ὀνόμασιν ἸωΝαθὰν יונתן καὶ ἐν τῷ Λατινικῷ ju-piter) καὶ τοῦ Βάκχος. Ὡς δὲ ὁ יה ΕΙ ἢ ΙΕ ἢ ΙΑ ὑμνεῖται θεός· οὕτω πάλαι καὶ ὁ וה ΥΑ· ὃν οἱ Ἕλληνες ὑπὸ τὸ ὄνομα Ὕης ὡς ξενικὸν θεὸν ἐσέβοντο, καὶ πάλιν κατὰ τοὺς λόγους τοῦ Σουΐδα ἐν Λέξ. εἰς Βάκχον ἀνέφερον· ὑμνεῖται δὲ καὶ παρ' ἡμῖν ἐν τῷ אלוה ΕΛ-ΥΑΧ (§. 36). Διαφέρει δ' οὗτος ὁ Ὕης ὁ ἐκ τοῦ ΥαΧ ἢ וה γινόμενος ἀπὸ τοῦ, Ἴης τοῦ ἐκ τοῦ יה ἢ ΙαΧ ἢ ΙΑ, ὃν καὶ Ἴητον καθ' ἕτερον μεταπλασμὸν ὁ Πλούταρχος ὀνομάζει. Ὥσπερ δὲ ἐκ τοῦ Υ τοῦ ΥΑ Ὕης, καὶ ἐκ τοῦ Ι τοῦ ΙΑ Ἴης ἢ Ἴητος, οὕτω καὶ ἐκ τοῦ ἑκατέρων Α ἐγένετο ἍΤΥης· καὶ οὗτός ἐςιν ὁ παρὰ τῷ Δημοσθένει (περὶ Στεφ. §. 125) θειασμὸς Ὕης Ἄττης (α) Ἄττης Ὕης. Ἐν ᾧ πάλαι μὲν ἐνόμιζον διορθωτέον τὸ ἕτερον Ὕης διὰ τοῦ Ι. ἢ γὰρ τὴν ϛ. ἢ τὴν ξ. τῶν ἐν τῷ Πλινθίῳ (§. 31) συζυγιῶν εἶναι ὑπελάμβανον· νῦν δὲ πιστεύω κατ' ἀντίστροφον ἀνάγνωσιν εὑρίσκεσθαι τὸ ΥΑ οὕτω ΥΑΑΥ, ὥσπερ καὶ τὸ ΙΑ ἐν τῷ πενταγράμμῳ (§. 23). Ἔτι πρόδηλον, ὅτι τὸ י, Ι. καὶ ו Υ ὡς σημαντικὰ τοῦ ὀνόματος יהוה ἤτοι σημαντικὰ τῆς θεότητος, εὑρίσκονται καὶ ἐν τῇ Ἑβραϊκῇ εἰς τὰ κύρια ὀνόματα οἷον יוֹזָכָר οἱονεὶ Θεόμνηστος καὶ יוֹנָתָן Θεόδοτος καὶ יוֹחָנָן Θεοχάρης κτλ. τοῦτο ἴσως καὶ τὸ παρ' ἡμῖν ΙΥ ἢ Ἰού· καὶ τὸ κοινὸν ΙΟΥΧ ἢ ΙΟΥΧΑ ἐπὶ κακοῦ· οἷον καὶ τὰ Πέντε ἢ ἡ παλάμη (§. 23)· ὅθεν καὶ αἱ παλαμναῖαι ἀραί· ἀλλὰ τοῦ *παλαμναῖος* τὴν ἀρχὴν εὑρίσκω ἐν τῷ פלמוני· ὡς ἂν ἐλέγομεν *ὁ πάντοιος καὶ ὁ δεῖνας*, οἱονεὶ γιγνόμεναι διὰ τοῦ πενταγράμμου. Ἀλλὰ καὶ

(α) Τὴν Ἄττις γραφὴν προκρίνει ὁ Μαυσσάκιος τῆς Ἄτυς καὶ Ἄττης, ὃς Φρυξὶ μάλιστα σεπτός. «Ἄττις παρὰ Φρυξὶ μάλιστα τιμᾶται, ὡς πρόπολος τῆς μητρὸς τῶν Θεῶν· τὰ δὲ περὶ αὐτὸν δεδήλωκε Νεάνθης· «μυστικὸς δὲ ὁ λόγος». Ἁρποκρατ. ἐν Λέξ. Αὕτη ἡ τήρησις τοῦ Ἁρποκρατίωνος ὅτι μυστικὸς ὁ λόγος σημαίνει μὴ εἶναι ἁπλοῦν ὄνομα ἀλλὰ σύμβολον πρός τι.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐν τῇ Λατινίδι ju-piter οἷον ὁ ΙΥ-πατήρ. Πολλοὶ ὅμως οὐ τὸ יו ἀλλὰ τὸ יה ὑπολαμβάνουσι συγκοπὴν τοῦ πανυμνήτου ὀνόματος (ὅρ. Jo. Christ. Clodii Lexicon Hebraic. Selectum ἐν λέξει יאה καὶ יה), ὅπερ οὐκ ὀρθῶς ἔχειν ὑπολαμβάνω· πολλαχοῦ γὰρ τῆς Γραφῆς συνάπτονται, οἷον παρὰ Ἡσαΐᾳ κϛ΄. 4. כִּי בְּיָהּ יְהוָה צוּר עוֹלָמִים (πρόφ. ΚιΒεΙαΧ ΙεΧοΥαΧ ΣοΥΡ ΟοΥΛεΜΙΜ) «ὅτι ἐν ΙαΧ ΙεΧοΥαΧ Πέτρᾳ (ἰσχύϊ) αἰώνων.» Ἐκ ταύτης τῆς συντάξεως γνωρίζεται τὸ יה μὴ εἶναι ἀποκοπὴν τοῦ יהוה, ὡς οἴεται καὶ ὁ Μερκέρος Mercerus (παρὰ Matthiæ Martinio Lex. philol. ἐν λεξ. jehova), ἄτοπον γὰρ τὴν ἀποκοπὴν καὶ τὸ οὗ ἡ ἀποκοπὴ τίθεσθαι ἐκ παραλλήλου.

§. 28. Τοῦτο τοίνυν τὸ יהוה ἐςὶ τὸ πανύμνητον ὄνομα, τὸ σεπτὸν τετραγράμματον τὸ παρὰ τοῖς ἀρχαίοις παγάγιον μυστήριον· παρὰ μὲν Ἰουδαίοις שֵׁם בֶּן אַרְבַּע אוֹתִיּוֹת «ὄνομα τέκνον τῶν τεσσάρων γραμμάτων» διὰ τὸ εἶναι ἐκ τοσούτων γραμμάτων συγκείμενον· παρὰ δὲ τοῖς Ἕλλησιν ἑπταγράμματον διὰ τὴν τῶν φωνηέντων παρέμπτωσιν, ἐφ᾽ ὃ πεποίηται καὶ τὸ

Ἑπτά με φωνάεντα Θεὸν μέγαν ἄφθιτον αἰνεῖ
Γράμματα τὸν πάντων ἄφθιτον πατέρα.

Ὃ δὴ καὶ οὐ μικρὸν πρόσκομμα ἐγένετο εἰς τοὺς γραμματικοὺς ζητοῦντας ἐν αὐτῷ τὰ ἑπτὰ Ἑλληνικὰ φωνήεντα, καὶ συμβιβάζοντας ταῦτα, δυνάμειγε, τοῖς Ι-Ε (Η) Ο (Ω) Υ-Α· τοῦ ποιήματος λέγοντος ἑπτὰ γράμματα *φωνάεντα* (πινδαρικῶς) ἤτοι ἠχοῦντα· οὐ γὰρ πάντα τὰ γράμματα, ἤτοι ἡ τοιάδε θέσις τῶν γραμμῶν, εἰσὶ καὶ φωνήεντα (κατὰ γραμματικούς)· ὅθεν οὕτω θεωρούμενον τὸ τετραγράμματον ἑπταγράμματον γίνεται κἂν τῷ Ἑβραϊκῷ συναριθμουμένων καὶ τῶν φωνηέντων ( ׳ ְ ָ )· κοινῇ δ᾽ ὅμως τὰ ἑπτὰ φωνήεντα δοξάζονται σημαντικὰ τοῦ θείου ὀνόματος «ἐπεὶ καὶ τῶν ἑπτὰ φωνηέντων τὴν ἐπὶ τὸ αὐτὸ σύνθεσιν ὡς μιᾶς τινος ἀποῤῥήτου προσηγορίας περιέχειν, φασὶν, ἐκφώνησιν, ἣν διὰ τεσσάρων στοιχείων παῖδες Ἑβραίων σημειούμενοι, ἐπὶ τῆς ἀνωτάτω τοῦ θεοῦ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

δυνάμεως κατατάττουσιν, ἄλεκτόν τι τοῖς πολλοῖς καὶ ἀπόῤῥητον τοῦτ' εἶναι παῖς παρὰ πατρὸς εἰληφότες (Εὐσέβ. Προπ. Εὐαγ. ιά. ς'.). Εἰσὶν ὅμως οἱ τὰ ἑπτὰ γράμματα εἰς τὸν *Σέραπιν* ἀνάγοντες (Ἡσύχ. ἐν λέξ.) Ἀλλὰ καὶ ἐν τῷ περὶ Ἑρμηνείας (ἀποδιδ. εἰς Δημήτριον τὸν Φαληρέα) « Ἐν Αἰγύπτῳ δὲ τοὺς θεοὺς ὑμνοῦσι διὰ τῶν ἑπτὰ φωνηέντων οἱ Ἱερεῖς ». Ταῦτα τὰ ἑπτὰ γράμματα γράφοντες οἱ Αἰγύπτιοι ἐπὶ δυσὶ δακτύλοις ἐσήμαινον τὸ ἄπειρον, τὴν Μοῦσαν καὶ τὴν Μοῖραν (Ὡραπ. Ιερογλ. Β. κζ'.) Περὶ τοιαύτης Ἑπτάδος ἢ ἑβδομάδος Ἕρμιππος ὁ Βηρύτιος ἔγραψεν ὁλόκληρον βιβλίον.

§. 29. Ἄπειρα δὲ τὰ ἐπὶ τοῦτο τὸ ὄνομα μυθεύματα τῶν ἀνατολικῶν, ἰδίᾳ μέντοι τῶν Ἰουδαίων. Προσαγορεύουσι μὲν γὰρ τοῦτο שמא רבא *μέγα ὄνομα* καὶ שם חמפורש *ὄνομα διεσταλμένον* ἢ, ὡς ἄλλοι, *διασεσαφημένον*. » Τῆς δὲ τοιαύτης προσηγορίας αἰτία δοκεῖ οὐ μόνον τὸ, ἀληθῶς ἔξοχον καὶ καθιερωμένον ἐπὶ τοῦ ἀληθινοῦ Θεοῦ πιστεύεσθαι, ἀλλὰ καὶ τὸ, μετὰ τὴν μετοικεσίαν Βαβυλῶνος τοὺς Ἑβραίους, καίτοι παραδεχθέντας, ὡς ἀλλαχοῦ που (Γεῦμα Κριτικῶν Μέρ. Β'.) διὰ μακρῶν εἴπαμεν, τὰ σημερινά, ἃ καὶ Ἀσσύρια γράμματα, καὶ πάντα τὸν νόμον καὶ τοὺς προφήτας εἰς αὐτὰ μεταγράψαντας, ἠκολουθηκέναι διηνεκῶς γράφειν τὸ ὄνομα τοῦτο τοῖς ἀρχαίοις γράμμασι: τοῖς Σαμαρειτικοῖς λεγομένοις· καὶ τοῦτο πιστούμεθα ἀπό τινος πολυτίμου τεμαχίου ἐκ τῶν τοῦ Ὠριγένους παρὰ Μοντεφαλκωνίῳ (Παλαιογρ. Ἑλλην.) λέγοντος « ἐν τοῖς ἀκριβέσι τῶν ἀντιγράφων ἑβραϊκοῖς ἀρχαίοις γράμμασι γέγραπται τὸ יהוה, ἀλλ' οὐχὶ τοῖς νῦν· φασὶ γὰρ τὸν Ἔσδραν ἑτέροις χρήσασθαι μετὰ τὴν αἰχμαλωσίαν ». Πιστοῦται δὲ τοῦτο μάλιστα καὶ ὅτι κατὰ τοὺς λόγους τοῦ θείου πατρὸς Ἱερωνύμου (Hieron. Prolog. in Samuel) Nomen Domini tetragrammaton in quibusdam Græcis Voluminibus usque hodie antiquis expressum literis invenimus. « Τὸ ὄνομα τοῦ Κυρίου τὸ Τετραγράμματον ἔν τισιν ἑλληνικοῖς τεύχεσι μέχρι τῆς σήμερον τοῖς *ἀρχαίοις* κεχαραγμένον *γράμμασιν* εὑρίσκομεν ». Ἐνταῦθα ἀρχαῖα νοεῖν χρὴ οὐ πάντως τὰ Ἑλληνικά, ἀλλὰ τὰ Ἑβραϊκὰ ἀρχαῖα γράμματα. Καὶ πιθανῶς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἡ τοιαύτη τοῦ θείου ὀνόματος γραφὴ ἦν ἀφόμοιον οὐκ ἐκ τῶν Κωδήκων τῶν Ο΄. ἀλλ᾽ ἐκ τῆς ἀρχαιοτάτης ἐκείνης καὶ ἴσως πρὶν τοῦ Πλάτωνος γενομένης μεταφράσεως, (περὶ ἧς ἐν τῷ ἡμετέρῳ πονήματι Γεὔμ. Κριτικ. καὶ Ἱστορ. τοῦ θείου Γράμμ. μέρ. Β΄.)· εἰμὴ εἴποις τοὺς μὲν Ἑβδομήκοντα γράψαντας τὸ τετραγράμματον, οἱ δὲ μεταγράψαντες ἀποθέμενοι τὴν βάρβαρον γραφὴν, ἔγραψαν ἑλληνικοῖς χαρακτῆρσι τὸ, Κύριος, μετάφρασιν οὖσαν τοῦ Ἀδωναῒ, ὅπερ ἀντικαθιστᾶσι καὶ μέχρι τῆς σήμερον οἱ Ἰουδαῖοι (§. 40). Ὁ δὲ Ῥαββὶ Νεεμίας Βὲν Ἀκκανᾶ ἐν τῇ אגרות הסרות λέγει ὀνομασθῆναι שם המפורש (ἐξ ἑτέρας σημασίας) ὄνομα ἀνεπτυγμένον, ὡς μυριαχῶς ἀναπτυσσόμενον, οὐ μέν τοι καὶ τὴν θείαν οὐσίαν ἑρμηνεῦον (ὅρα τὰ ἀκόλουθα.). Σημείου δὲ ὅτι οὐ μόνον τούτοις τοῖς ὀνόμασιν, ἀλλὰ καὶ ἑτέροις τιμίοις ἐπονομάζεται, ἄφατον αὐτὸ καὶ ἀνέκφραστον νῦν τε καὶ πάλαι νομιζόμενον ἐκ τοῦ ἐν τῷ Λευϊτικῷ (κδ΄. 16) ῥητοῦ וְנֹקֵב שֵׁם יְיָ מוֹת יוּמָת ὅπερ οἱ Ο΄. «ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου θανάτῳ θανατούσθω» ὡς καὶ ὁ Φίλων ἐν Βίῳ Μωσέως γράφει «Χρυσοῦν δὲ πέταλον ὡσανεὶ στέφανος ἐδημιουργεῖτο, τέτταρας ἔχων γλυφὰς ὀνόματος, ὃ μόνοις τοῖς ὦτα καὶ γλῶσσαν σοφίᾳ κεκαθαρμένοις θέμις ἀκούειν καὶ λέγειν ἐν Ἁγίοις, ἄλλῳ δὲ οὐδενὶ τὸ παράπαν οὐδαμοῦ.» Ἀλλὰ καὶ ἐν τῷ Ἰουδαϊκῷ Εὐχολογίῳ בַּמִּקְדָּשׁ אמרים אֶת הַשֵּׁם בִּכְתָבוֹ וּבַמְּדִינָה בְּכִנּוּי «Ἐν τῷ ἱερῷ προφέρουσι τὸ ὄνομα κατὰ γράμμα· ἐν δὲ ταῖς πόλεσι διὰ τῶν προσηγοριῶν αὐτοῦ·» ἐξ οὗ τυχὸν καὶ ἄφατον ὠνομάσθη, καὶ οὐχ ὥς τινες ὑπέλαβον διὰ τὸ μὴ δύνασθαι γραφῆναι, ἢ προφερθῆναι ἀκριβῶς παρὰ τῶν Ἑλλήνων. Δοκεῖ δὲ τὴν ἀρχὴν ἄφατον γεγονὸς ἢ διὰ τὸ μέγα σέβας. «Μωσέως καὶ τῶν παρ᾽ Ἑβραίοις προφητῶν ἁπάντων ἄῤῥητον εἶναι τὸ θεῖον διδασκόντων, καὶ τῆς ἀῤῥήτου προσηγορίας τὸ σύμβολον διὰ τῆς παρ᾽ αὐτοῖς ἀνεκφωνήτου σημειώσεως ὑποφαινόντων» (Εὐσεβ. Προπαρ. Εὐαγ. ΙΑ. 12) ἢ, ὡς εἰκάζω, μὴ οἱ περίοικοι τῶν Ἑβραίων εἰδωλολάτραι παραλαβόντες τὸ ὄνομα, γλυπτὸν θεὸν ποιήσωσιν, οἷοι

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

οἷ,τε Σαμαρεῖται καὶ οἱ Φοίνικες, ὧν θεός τις εἰδωλοποιηθεὶς κατὰ μίμησιν ΙΕΥΩ ἐπωνομάσθη, μνημονευόμενος παρ' Εὐσεβίῳ (αὐτ. Α. 9) « Εἰληφὼς τὰ ὑπομνήματα παρὰ Ἱερομβάλου τοῦ ἱερέως Θεοῦ τοῦ ΙΕΥΩ » · καίτοι τοῦ Δανιὴλ Ὑετίου (Ἀποδ. Εὐαγ. Πρότ. Δ'. κεφ. 6'. §. 2.) οὐκ ἀπιθανολογοῦντος ἐκ τοῦ βιβλίου τῶν Κριτῶν ς'. 32. καὶ ζ'. 1. καὶ η'. 35. Ἱερόμβαλον εἶναι τὸν Γεδεῶνα, ὃν ὡς ἱερέα τοῦ Θεοῦ ΙΕΥΕ ὑπέλαβον οἱ ἐθνικοί. Ἔδει τοίνυν τὸν αἰώνιον Θεὸν μὴ προσαγορεύεσθαι ὀνόματι κυρίῳ, ἰδίῳ μὲν αὐτοῦ, κοινῷ δὲ γενομένῳ καὶ τοῖς ψευδωνύμοις θεοῖς, μήποτε ἡ ὁμωνυμία ἀποπλανήσῃ τὸν λαὸν τοῦ Ἰσραήλ. Ἐκ τούτου τὰ ἱστορούμενα παρὰ Ἰουδαίοις, ὅτι ἀπώλετο ἡ προφορὰ τούτου τοῦ ὀνόματος (ὅρ. Grammatica Ebrea composta da Simon Calimani Gn. Rabbino veneto· edizone seconda. Pisa. pag. 172)· καὶ ὅτι, εἴτις γινώσκει αὐτὴν, ἢ παρὰ Θεοῦ, ἢ ἄλλοθέν ποθεν λαβὼν, δύναται τελεῖν τεράστια, καὶ ἄλλοι πολλοὶ ἀσήμαντοι μῦθοι καὶ ἄλλοι ταλμουδικοί. Τούτου τοῦ θείου ὀνόματος τὸ θαυμαστὸν καὶ μέγα (κατ' αὐτὴν δῆθεν τὴν σημασίαν) ἐκδιηγούμενος, λέγουσιν, ἐξυμνεῖ καὶ ὁ Προφητάναξ λέγων· « Κύριε, ὁ Κύριος ἡμῶν ὡς θαυμαστὸν τὸ ὄνομά σου ἐν πάσῃ τῇ γῇ » (Ψαλμ. η'. 1). Διὸ καὶ ὁ Ἀθανάσιος Κίρχερος ἐκτιθέμενος τὸ θεῖον τοῦτο ὄνομα ἐκ τῆς τῶν Καβαλιστῶν ἑρμηνείας, λέγει « Τὸ δὲ τετραγράμματον καὶ ἀνεκφώνητον ὄνομα יהוה οὐκ ἀπ' ἀνθρώπων εὕρηται, ἀλλὰ πρὸς Θεοῦ αὐτοῦ *παραδοθὲν*, ἅγιον ὄνομά ἐστι καὶ πάντιμον, τὸ μόνον ὄνομα, δι' οὗ ὁ μόνος Θεὸς πατρῴᾳ τῇ θρησκείᾳ εὐλογητέος· ὄνομα τὸ ὑπὲρ πᾶν ὄνομα, ὃ σέβονται μὲν τὰ οὐράνια, τιμῶσι δὲ τὰ καταχθόνια, καὶ ἀσπάζεται πᾶσα ἡ κτίσις. Ὃ δὴ καὶ παρὰ τῶν ἐκτενῶς σεβομένων αὐτὸ ἅπαξ ἐναπομαχθὲν, καὶ ἱερατικῷ τῷ νοΐ, δὸς εἰπεῖν, συσσαρκωθὲν, θαυμασίαν τινὰ λέγεται ἐξουσίαν τῇ βροτείᾳ δυνάμει παρέχεσθαι . . . . ἁπάντων τῶν θείων ὀνομάτων ἐπιτομή τις οὖσα καὶ ἀνακεφαλαίωσις ». Καὶ ὁ Μωσῆς Βοτρίλος ἐν τῷ Ἰεζιράχ φησιν « ὥσπερ ἐκ κορμοῦ δένδρου φύονται κλῶνοι καὶ κλάδοι καὶ ὄρπηκες, οὕτω κἀνταῦθα πάντα τὰ λοιπὰ (θεῖα) ὀνόματα ἐξ αὐτοῦ πηγάζουσι. »

§. 30. Καὶ ἐπειδὴ ἐνταῦθα ἑρμηνείας περιπολούμεθα, εὔλογον κρίνω πρὸς διατριβὴν τῶν φιλολόγων θεοφιλῶν ἀναγνωστῶν συν-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τόμως ὑποθῆναι, καὶ ὅσα καβαλιστικὰ θεωρήματα ἀναφέρονται εἰς τοῦτο τὸ πανσέβαστον ὄνομα, οὐσιώδη μὲν ὠφέλειαν μηδεμίαν ἔχοντα, ἀναγκαῖα δ' ὅμως, ὅπως γνωσθῇ, ἐπὶ τίνι λόγῳ λέγεται ἐπιτομὴ καὶ ἀνακεφαλαίωσις ἢ κορμὸς ἁπάντων τῶν θείων ὀνομάτων κτλ. ἔτι δὲ ἀνακαλυφθῇ καὶ ἡ τῶν καβαλιστικῶν θεοσόφων ἐπ' αὐτὸ λεπτολόγος τερθρία. Ποιῶ δὲ τοῦθ' ἡδέως, διότι οὔθ' οἱ ἡμέτεροι φιλολόγοι ἀπαντῶσι ταύτας τὰς ἰδέας ἐν τοῖς παρ' ἡμῖν φερομένοις βιβλίοις. Τὰ δὲ θεωρήματα ταῦτα δυσθήρατα μὲν πώς εἰσιν, ὡς ἐφεδράζοντα εἰς τὸ Ἑβραϊκὸν ἀλφάβητον, καὶ τὰς λεκτικάς τε καὶ ἀριθμητικὰς ἰδιότητας αὐτοῦ· ὄντος μέντοι ταὐτοσήμου πως τῷ ἑλληνικῷ, ὁ προσεκτικὸς ἀναγνώστης δύναται νοῆσαι τὸ τυπικὸν τῶν θεωρημάτων.

§ 31. Ὁρισθείσης τοίνυν τῆς Καβάλας (παραδοχῆς) «θείων τε καὶ ἀνθρωπίνων πραγμάτων μυστηριωδῶς διὰ τοῦ τύπου τοῦ Μωσαϊκοῦ νόμου, καὶ ἀλληγορικῷ τῷ νοήματι παραδοθείσης εἰς τὸν μυηθέντα, ἕξεως.» (**A. Kircheri Cabal. Hebraeor. c. I.**), πλὴν τοῦ τετραγραμμάτου ὀνόματος οἱ Καβαλισταὶ διδάσκαλοι ἐκ τῶν ἰδίων αὐτοῖς θεωρημάτων μνημονεύουσι καὶ

Δυοκαιδεκαγράμματον καὶ
Δυοκαιεικοσαγράμματον καὶ
Δυοκαιτεσσαρακονταγράμματον καὶ
Δυοκαιεβδομηκονταγράμματον.

Ταῦτα δὲ τὰ ὀνόματα οὐκ εἰσὶν ὀνόματα, ἀλλ' ἄθροισμά τι ὀνομάτων ἢ λέξεων ἐμπεριεχουσῶν πλέγδην καὶ συμβολικῶς τὸ πανύμνητον ὄνομα ἢ ἁπλοῦν ἢ συνημμένον. Ἰδοὺ δὲ τὸ πλινθίον τοῦ λεγομένου παρ' Ἑβραίοις שֵׁם בֶּן שְׁנֵים עָשָׂר אוֹתִיּוֹת ὀνόματος τέκνου δώδεκα γραμμάτων. Ὅπερ οὐδὲν ἕτερόν ἐστιν ἢ αἱ δυναταὶ συζυγίαι τῶν γραμμάτων τοῦ αὐτοῦ ὀνόματος יהוה, ὧν ἑκάστη εὑρίσκεται πλέγδην ἔντινι ἐδαφίῳ τῆς Γραφῆς.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἡ ά. παραδείγματος χάριν ἐν τῷ ϥς΄. ψαλ. ἐδ. 11.

ישמחו השמים ותגל הארץ

καὶ ὅπως δῶμεν ψηλαφητὴν ἰδέαν ἐκ τοῦ ἡμετέρου ἀλφαβήτου

« ΕὐφραΙνΈσθωσαν οἱ οΥρανοὶ καὶ ἀγαλλΈσθω ἡ γῆ». ἐν ᾧ ἕκαςος ὁρᾷ τὴν πρώτην συζυγίαν σεσημειωμένην μείζοσι τοῖς ἀρχικοῖς γράμμασιν ἑκάςης λέξεως, ὅπερ ἡμεῖς οὐκ ἐπιτυχῶς ἐν τῇ τῶν Ο΄. μεταφράσει ἐμιμήθημεν.

ΠΛΙΝΘΙΟΝ ΔΥΟΚΑΙΔΕΚΑΓΡΑΜΜΑΤΟΝ.

| | | |
|---|---|---|
| יוהה<br>ƎƎΥI<br>γ. | יההו<br>ΥƎƎI<br>β. | יהוה<br>ƎΥƎI<br>α. |
| הויה<br>ƎIΥƎ<br>ς. | ההוי<br>IΥƎƎ<br>ε. | הוהי<br>IƎΥƎ<br>δ. |
| ויהה<br>ƎƎIΥ<br>θ. | וההי<br>IƎƎΥ<br>η. | והיה<br>ƎIƎΥ<br>ζ. |
| ההיו<br>ΥIƎƎ<br>ιϐ. | היוה<br>ƎΥIƎ<br>ια. | היהו<br>ΥƎIƎ<br>ι. |

Ἡ ϐ΄. συζυγία εὑρίσκεται ἐν τῷ Ἰερεμίᾳ Θ. 23

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

יתהלל המתהלל השכל וידע

(Ἀλλ' ἢ ἐν τούτῳ) καυχάσθω ὁ καυχώμενος συνιεῖν καὶ γινώσκειν ὅτι κτλ.

Ἡ γ΄. συζυγία ἐν τῷ τῆς Ἐξόδου κς΄. 20. Ἡ δ΄. ἐν Ἰὼϐ λγ΄. 27. Ἡ έ. ἐν τῷ Δευτερονομ. θ΄. Ἡ ς΄. ἐν Ἡσαΐου μέ. Ἡ ζ΄. ἐν Δευτερον. κ΄. Ἡ ή. αὐτ. ϐ΄. Ἡ θ΄. Γεν. ιγ΄. Ἡ ί. Ψαλμ. λγ΄. 4. Ἡ ιά. ἐν Ἡσαΐου ιϐ΄. Ἡ ιϐ΄. ἐν Ἰερεμ. ή.

Τῷδε τῷ τρόπῳ συνυφαίνονται καὶ τὰ λοιπὰ σύνθετα ὀνόματα λέγω τὸ ΚΒ΄γράμματον, ὃ δὴ καὶ ὑμνεῖται ἐν τῷ τῶν Ἀριθμῶν ς΄. 24 ἐδαφίῳ

יברכך יהוה וישמרך יאר יהוה

Εὐλογῆσαι σε Κύριος καὶ φυλάξαι σε, ἐπιφάναι Κύριος κτλ. περιέχοντι εἰκοσιδύο γράμματα, δι' οὗ ἐπικαλούμενος ὁ Θεὸς δίδωσιν ἀφθονίαν, καὶ τὸ,

ΜΒ΄γράμματον, τὸ κατ' ἰσοψηφίαν ἐμπεριεχόμενον ἐν τῷ πανυ-

μνήτῳ ὀνόματι γραφομένων ὀνομαστὶ τῶν αὐτοῦ γραμμάτων· οἷον

ה ו ו ה ד ו י καὶ ὀνομάζεται קדוש (ἅγιον), σύμβο-

42 | λον ὂν τεσσαράκοντα δύο προσόντων τοῦ Θεοῦ, ὀνοματιζομένων καθ᾽ ἕκαστον ἐδάφιον τρόπῳ τῷ εἰρημένῳ.

§. 32. Ἀλλ᾽ ἡμεῖς ὡς καβαλιστικῆς ἐπινοίας τε καὶ ματαιοσχολίας ἀριστούργημα ἀναφέρομεν ἑρμηνεύοντες τὸ, ΟΒ´γράμματον ὄνομα.

Ὁ ἀριθμὸς ΟΒ´. τηρεῖται φυλασσόμενος ἐν πολλοῖς τῶν τῆς Γραφῆς· καὶ δὴ λέγεται Ταλμουδικῶς, ὅτι ΟΒ´. ἄγγελοι: ὀκτὼ ἐξ ἑκάστου τοῦ Θ´. ταγμάτων συνειργάζοντο τῷ Μωσεῖ ἐν τῇ τῆς Ἐρυθρᾶς θαλάσσης διαιρέσει, ἔχοντες ἕκαστος ὄνομα ἴδιον συντεθειμένον ἐκ μιᾶς λέξεως ἀσημάντου μὲν καθ᾽ ἑαυτὴν, σημαινούσης δὲ ὡς ἐκ τῆς θέσεως, ἐξ ἧς ἐλήφθη, εὐεργετικήν τινα ἰδιότητα τοῦ Θεοῦ, καὶ ἐκ τῆς συλλαβῆς יה ἢ אל: ἤγουν ΙΑ ἢ ΗΛ τῶν σημαινουσῶν τὸν Θεόν· οὕτω γὰρ λήγουσι καὶ τὰ ὀνόματα τῶν ἐν τῇ Γραφῇ γνωστῶν ἀγγέλων ΜΙΧαΗΛ, ΓαΒΡιΗΛ κτλ. Τούτων δ᾽ οὕτω προσημειωθέντων, τετήρηται, ὅτι ἐν τῷ τῆς Ἐξόδου ιδ´. κεφ. ἕκαςον τῶν 19. 20. 21. ἐδαφίων ἔχει ἑβδομήκοντα δύο γράμματα Ἑβραϊκά· καὶ τὰ μὲν δύο τὰ ἄκρα ἐπ᾽ εὐλογία, τὸ δὲ μέσον ἐπ᾽ ἀπειλῇ ὅπερ σημαίνει, ὅτι τὸ ἔλεος τοῦ Θεοῦ ὑπερβαίνει τὴν δικαίαν αὐτοῦ ἀγανάκτησιν. Εἴτις οὖν τὰ τῶν ἐπ᾽ εὐλογία ἐδαφίων γράμματα τάξει τῇ φυσικῇ ἓν ἕκαστον καθέτως καταγράψει, τὸ δ᾽ ἐπ᾽ ἀπειλῇ μέσον ἀντιξόως, ὥστε τὸ τελικὸν αὐτοῦ γράμμα συμπίπτειν τῷ ἀρχικῷ ἑκατέρων, γεννηθήσονται τρεῖς ΟΒγράμματοι κάθετοι σειραὶ, ὧν ἑκάστῃ προστιθεμένου τοῦ ὀνόματος ΗΛ ἢ ΙΑ, σχηματισθήσεται τὸ ὄνομα ἑκάστου τῶν προειρημένων ἀγγέλων· αἱ δὲ ῥηθεῖσαι τριγράμματοι σειραὶ τετήρηνται, εὑρισκόμεναι ἅπασαι πλέγδην ἐν ἐδαφίοις ψαλμικοῖς, ἔχουσι διαῤῥήδην καὶ τὸ πανύμνητον ὄνομα. Ἰδοὺ τὰ τρία τῆς Ἐξόδου ἐδάφια.

ויסע מלאך האלהים ההלך לפני מחנה ישראל וילך 19

מאחריהם ויסע עמוד הענן מפניהם ויעמד מאחריהם

ὅπερ μετέφρασαν οἱ Ο´. «Ἐξῆρε δὲ ὁ ἄγγελος τοῦ Θεοῦ ὁ προπο-



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ρευόμενος τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ, καὶ ἐπορεύθη ἐκ τῶν ὄπισθεν· ἐξῆρε δὲ καὶ ὁ στῦλος τῆς νεφέλης ἀπὸ προσώπου αὐτῶν καὶ ἔστη ἐκ τῶν ὀπίσω αὐτῶν.

20 ויבא בין מחנה מצרים ובין מחנה ישראל ויהי הענן
והחשך ויאר את־הלילה ולא קרב זה אל זה כל־הלילה

«Καὶ εἰσῆλθεν ἀναμέσον τῆς παρεμβολῆς τῶν Αἰγυπτίων, καὶ ἀναμέσον τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ· καὶ ἐγένετο γνόφος καὶ σκότος· καὶ *διῆλθεν ἡ νὺξ* (ἐνταῦθα τὸ Ἰουδαϊκὸν ἀτόπως φέρει «ἐφώτισε τὴν νύκτα»)· καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα».

21 ויט משה את־ידו על־הים ויולך יהוה את־הים ברוח
קדים עזה כל־הלילה וישם את־הים לחרבה ויבקעו המים

Καὶ οἱ Ο′. «Ἐξέτεινε δὲ Μωϋσῆς τὴν χεῖρα (αὐτοῦ) ἐπὶ τὴν θάλασσαν, καὶ ἐπήγαγε Κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ (ἀπηλιώτῃ τὸ Ἰουδαϊκὸν) βιαίῳ ὅλην τὴν νύκτα καὶ ἐποίησε τὴν θάλασσαν ξηρὰν καὶ ἐσχίσθη τὸ ὕδωρ.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

§. 33. Ἰδοὺ δὲ καὶ ἡ ἔκθεσις αὐτῶν κατὰ τὴν προηγηθεῖσαν ἑρμηνείαν.

| Ὀνόματα τῶν οὐρανίων ταγμάτων. | Τὰ προσθετέα θεῖα ὀνόματα. | Τὰ πρῶτα ὀκτὼ στοιχεῖα τοῦ 21. ἐδαφίου. | Τελικὰ ὀκτὼ γράμματα τοῦ 20. ἐδαφίου. | Τὰ πρῶτα ὀκτὼ στοιχεῖα τοῦ 19. ἐδαφίου. | Ἀριθμὸς τῶν ὀνομάτων | Ὀνόματα τῶν ἀγγέλων γράμμασιν ἑλληνικοῖς | Ἰδιότητες θεῖαι. | Ἀριθμὸς ψαλμῶν καὶ ἐδαφίων. | |
|---|---|---|---|---|---|---|---|---|---|
| ΧΟΡΟΣ ΠΡΩΤΟΣ ΣΕΡΑΦΕΙΜ. | יה | ו | ה | ו | 1 | ΥεΕΥ - ΙΑ | Ὑψῶν. | γ′. | 4 |
| | אל | י | ל | י | 2 | ΙεΛΙ - ΗΛ | Βοηθῶν. | κά. | 20 |
| | אל | ט | י | ס | 3 | ΣΙΘα - ΗΛ | Ἐλπίς. | ϙ′. | 2 |
| | יה | מ | ל | ע | 4 | ΟΛαΜ - ΙΑ | Ἀπόῤῥητος. | ϛ′. | 5 |
| | יה | ש | ה | מ | 5 | ΜαΕαΣι-ΙΑ | Σωτήρ. | λγ′. | 5 |
| | אל | ה | ל | ל | 6 | ΛεΛαΗι-ΗΛ | Αἰνετός. | θ′. | 12 |
| | יה | א | כ | א | 7 | ΑΚΑ - ΙΑ | Μακρόθυμος. | ρϐ′. | 8 |
| | אל | ת | ה | כ | 8 | ΚαΕΤ - ΗΛ | Λατρευτός. | ϙδ′. | 6 |

Ταῦτα τὰ ὀνόματα τῶν ἐκ τοῦ πρώτου χοροῦ (τῶν Σεραφεὶμ) συμπραξάντων εἰς τὴν ξήρανσιν τῆς ἐρυθρᾶς θαλάσσης ἀγγέλων. Ἀκολουθοῦσι τῇ αὐτῇ διαθέσει τῶν γραμμάτων τὰ λοιπὰ τῶν ὀκτὼ τμημάτων εἰς ἀπαρτισμὸν τῶν ΟΒ ὀνομάτων· ἕκαστον δὲ τμῆμα λαμβάνει ὄνομα ἑνός τινος τάγματος Ἀγγελικοῦ. Πάντα δὲ ταῦτα τὰ ὀνόματα τῷ ἀκολούθῳ τρόπῳ πορίζονται ἐκ τῶν ψαλμῶν.

Τὸ πρῶτον ἤτοι τὸ והויה τὸ ἐκ τῶν τριῶν γραμμάτων והו καὶ τοῦ יה ἐκ τοῦ

ואתה יהוה מָגֵן בַּעֲדִי כְּבוֹדִי וּמֵרִים רֹאשִׁי

« σΥ δΕ, ΚΥΡΙΕ, ἀσπὶς (οἱ Ο΄. « ἀντιλήπτωρ μου εἶ ») ὑπὲρ ἐμοῦ, δόξα μου καὶ Ὑψῶν τὴν κεφαλήν μου »· ὅπου ὁρῶνται τὰ τρία γράμματα τῆς πρώτης σειρᾶς ἐν τῷ σημειωθέντι ἐδαφίῳ, διδάσκοντι τὸν Θεὸν « ὑψοῦντα τοὺς ταπεινούς », ἢ τοὺς ἔχοντας κρεμαμένην τὴν κεφαλὴν ἐκ θλίψεως καὶ ταπεινότητος. رافع λέγουσι καὶ οἱ Μοχαμεδανοί. Πόθεν δὲ δῆλον ὅτι ἐπικαλεστέος ὁ Θεὸς ὑπὸ τοιοῦτον ὄνομα; ἐκ τοῦ διαρρήδην ἐγκειμένου τῷ ἐδαφίῳ πανυμνήτου ὀνόματος, ΚΥΡΙΕ· ὡς ἂν ἔλεγεν « ὁ Κύριος οἷος ὑμνεῖται ἐν τῷ ἐδαφίῳ τῷ περιέχοντι τὰ τρία χαρακτηριστικὰ γράμματα τοῦ ὀνόματος ἑνὸς ἀγγέλου τοῦ Θεοῦ יה ΙΑ· ἀνήκοντος εἰς τὸν χορὸν τῶν Σεραφείμ. »

Οὕτω καὶ τὸ δεύτερον ἢ τὸ יליאל τὸ ἐκ τῶν γραμμάτων ילי καὶ τοῦ אל ἐκ τοῦ

וְאַתָּה יהוה אַל־תִּרְחָק אֱיָלוּתִי

Καὶ σὺ, ΚΥΡΙΕ, μὴ μακρυνθῇς ἡ ἰσχύς μου (κατὰ τὸ Ἑβραϊκόν.) ὅπερ οἱ Ο΄. « σὺ δὲ, ΚΥΡΙΕ, μὴ μακρύνῃς τὴν βοήθεΙάν σου ἀπ᾽ ἐμοῦ εἰς τὴν ἀντίΛηψΊν μου πρόσχες. » ὅπου ὁρῶνται τὰ γράμματα τῆς δευτέρας ὀνομασίας σημαινούσης βοήθειαν, καὶ ἀκολούθως ὁ *βοηθὸς* ἢ ὁ ἐνισχύων· ὅτι δὲ καὶ τὸ τοιοῦτον ὄνομα θεῖόν ἐστιν ὄνομα, μαρτυρεῖται ἐκ τοῦ πανυμνήτου ὀνόματος, ΚΥΡΙΕ. Καὶ οὕτω περὶ τῶν ἐφεξῆς, ὡς ἡρμηνεύσαμεν ἐν τῇ ἡμετέρᾳ περὶ Κομβοσχοινίου Μελέτῃ.

§. 34. Τοῦτο δὲ τὸ ΟΒ΄ γράμματον ὄνομα λέγεται παρὰ τοῖς



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καβαλισταῖς מיוחד *Τὸ Ἑνοῦν*, ὡς συλληπτικὸν πάντων τῶν θείων ὀνομάτων· καὶ δὴ συμβολικῶς τρόπῳ τῷ ἀκολούθῳ ἐκτυποῦνται διὰ τοῦ ὀνόματος יהוה [Σχ. 15.]: ἤτοι τὸ יהוה μεθ' ἑβδομήκοντα δύο κορωνίδων, ὧν ἑκάστη σύμβολόν ἐστιν ἑνός τινος θείου ὀνόματος δηλουμένου ἐκ τῶν τριῶν γραμμάτων.

§. 35. Ταῦτα τοίνυν τὰ καβαλιστικὰ ἢ παραδοχικὰ θεωρήματα, καί τοι παντάπασιν ἀσήμαντα ἐν τῇ αὐτῶν φύσει, οὐ μὴν δ' ἀλλὰ καὶ δεισιδαιμονίας μὲν καὶ προλήψεων ὕλη εἰς τοὺς ἀφελεστέρους διὰ τὸ παράδοξον, δέλεαρ δὲ τῶν ἱεροκαπήλων κατὰ τῶν ἱεροπλήκτων διὰ τὸ ἱεροφαντικὸν αὐτῶν γενόμενά τε καὶ γινόμενα, ἔχουσιν ὅμως πολλὴν καὶ ἀκαταλόγιστον τὴν ὠφέλειαν εἰς τὴν τῆς Γραφῆς φιλολογικὴν κρίσιν. Ἐν γὰρ τῇ παρούσῃ καταστάσει τοῦ Ἰουδαϊκοῦ κειμένου, βοηθείᾳ τῆς Μασώρας καὶ συνεργείᾳ τῆς Καβάλας, ἀμήχανον παρεισδῦσαι ἁμάρτημα εἰς γράμμα, ἢ εἰς λέξιν, ἢ εἰς κεφάλαιον κτλ. οὔτε προσθέσει οὔτε ἀφαιρέσει, οὔτε ἐν γνώσει οὔτε ἐν ἀγνοίᾳ. Ἂν δέ ποτε τοῦτο συμβῇ, εὐθὺς μαθηματικῇ, μικροῦ δεῖν, τῇ μεθόδῳ εὑρίσκεται τί τὸ ἁμάρτημα καὶ ποῦ καὶ πῶς. Διὸ τὸ νῦν Ἰουδαϊκὸν γράμμα ἔχει ἰδίαν ἐπιστημονικὴν θεωρίαν πολλὰ περίεργον, βάσιν ἔχουσαν ἐν ἐσχάτῳ λόγῳ τὸ πανύμνητον ὄνομα והיה, ὅθεν ἱστορικῶς, λογιστικῶς καὶ ἀλληγορικῶς πᾶσα ἡ Γραφὴ τεθεμελίωται, καὶ διαιωνίζεται ἀναμαρτήτως τε καὶ ἀκλονήτως εἰς μόνον τὸ ὄνομα τοῦ יהוה ΞΥΞΙ· παρ' οὗ καὶ ἀπεκαλύφθη.

§. 36. Ταῦτα τὰ δύο θεῖα ὀνόματα יה, καὶ יהוה καὶ θεοπρεπέστερα καὶ ἀκριβέστερα εἰς τὴν τοῦ θείου ἔκφρασιν. Εἰς ταῦτα μέντοι προςίθενται καὶ ἕτερα πάμπολλα ὀνόματα, ὧν ἐπισημότερα λογίζονται τὸ אל τὸ אלוה τὸ אלהי τὸ אלהים τὸ אהיה אשר τὸ אדני τὸ עליון τὸ צבאות τὸ שדי. Τὰ πρῶτα τέσσαρα ὀνόματα ἤτοι τὸ אל, ΑΛ ἢ ΕΛ ἢ ΗΛ ἢ ΙΛ, καὶ τὸ אלוה ΑΛΥΕ ἢ Ἐλωὰ· καὶ τὸ אלהי ΑΛΕΙ ἢ Ἐλωΐ· (ἅπερ κατὰ συρικὴν προφορὰν καὶ Ἠλὶ λέγεται, ὡς ἐφώνησε καὶ ὁ Κύριος ἐπὶ ςαυροῦ (Ματ. κζ'. 46),

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καὶ τὸ אֱלֹהִים ΑΛΕΙΜ ἢ Ἐλωῒμ γνωρίζουσιν ἀρχὴν αὐτὸ τὸ ΑΛ ἢ ΕΛ ἢ ΗΛ κοινῶς μὲν ἑρμηνευόμενον διὰ τοῦ Θεὸς, οὐδὲν δὲ πλέον σημαῖνον, ἢ μόνον ἄρθρον γνωστικὸν ἢ ἐμφαντικὸν μεγάλου ἢ ἰσχυροῦ, ὡς ἂν ἐλέγομεν Ὁ, σημαίνοντες ὡς οἷόν τε ἁπλῶς καὶ ἀκατονομάστως τὸ ἄφατον τῆς θεότητος καὶ τὸ μέγα καὶ ἰσχυρὸν αὐτῆς. (Ὅτι δὲ ἐν τῇ ἀρχαιοτάτῃ γλώσσῃ τῶν πατριαρχῶν, ἔτι ἐν τῇ Μεσοποταμίᾳ καταμενόντων, κοινὸν ὂν τὸ ἀραβικὸν ἄρθρον ال אֵל ἔλ ἢ ἠλ, ὃ δὴ καὶ ἐν τῇ Ἰταλικῇ αὐτῇ διεσώθη, καὶ ἐν τοῖς ὑστέροις χρόνοις, καί τοι σπάνιον, ὅμως γοῦν ἐσώθη ὡς λέξις καὶ ἔκφρασις νομικὴ, δείκνυται ἐκ τοῦ אלהק ΑΛΕΚ (ἐλὸκ) τοῦ β′ ψαλμοῦ ἐδ. 7. σημαῖνον τὸ, Τὸ ΚΡΙΜΑ ἢ *τὸ πρόσταγμα*, ὡς μετέφρασαν οἱ Ο′.) Διὸ καὶ πολλαχοῦ τῆς Γραφῆς εἰς τὸ ΑΛ παρατίθεται ἐπίθετόν τι συνώνυμον, ὡς ἐπεξηγηματικὸν ἐπὶ προσδιορισμῷ τῆς σημασίας αὐτοῦ οἷον τὸ שַׁדַּי ΣΔΙ (§. 52.) καὶ τὸ גבור ΓΒΥΡ (αὐτ.).

Τὸ δὲ אלוה ΑΛΥΕ δοκεῖ σύνθετον ἐκ τοῦ ΑΛ ἢ ΕΛ καὶ ΥΕ (ἢ ΧαΧ) οἷον Ὁ ΥΑΧ. Ἔτι καὶ τὸ אלהי ΑΛΕΙ οἷον ἐκ τοῦ אל ΑΛ καὶ ה, Ε καὶ י Ι, οἷον Ὁ ἘΜΟΥ (τοῦ י σημαίνοντος τὴν κτητικὴν πρωτοπροσωποῦσαν συμπαγῆ ἀντωνυμίαν· τοῦ δὲ Ε τὴν προσωπικότητα τοῦ Θεοῦ (§. 6.). Ἐὰν δ' ἐκλάβωμεν ἀραβικωτέρως τὴν δύναμιν τοῦ ה καὶ ἀκολούθως الحي τότε σημανεῖ τὸ, ὁ *Ζῶν* καὶ πάντως οὕτως ὀνομάζει τὸν Θεὸν καὶ Ναβουχοδονόσωρ ἐν Δανιὴλ· δ′. 31 לחי. Καὶ κατ' αὐτὴν τὴν σημασίαν τοῦ חי καὶ ἐτυμολογίαν τῆς λέξεως אלהי ἐῤῥέθη ὑπὸ τοῦ Κυρίου καὶ τὸ ἰσχυρὸν κατὰ τῶν πειραζόντων Σαδδουκαίων ὑπὲρ τῆς τῶν νεκρῶν ἀναςάσεως ἐπιχείρημα, μηδαμῶς ἄχρι τῆς σήμερον καθ' ὅλην τὴν δύναμιν αὐτοῦ νοηθέν. « Οὐ γάρ ἐστιν ὁ Θεὸς Θεὸς νεκρῶν, ἀλλὰ (Θεὸς) ζώντων· » ὡς ἂν ἔλεγεν Ἑβραϊστὶ לֹא אֱלֹהִים אֱלֹמֵתִים לוֹ (אֵל) חַיִּים καὶ γράμμασιν Ἑλληνικοῖς Λω ΕΛ-ο-Χ-ΙΜ ΕΛ-ΜοΤΙΜ, Λου ΕΛ-ΧΧ-ΙΙΜ, διπλασιάσας οὕτως ἐν τῇ Ἑβραΐδι, καὶ ἐπιτείνας τὴν φωνὴν ה τοῦ Ε (Χ) εἰς ח. Η. (ΧΧ) καὶ τὴν τοῦ י Ι εἰς יי ΙΙ ἢ λατινικὸν j πλησίον τοῦ γ. Ἐκ τούτου τοῦ אלהים ἐγένετο καὶ τὸ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τῶν ἀνατολικῶν اللهم ὅπερ, διὰ τὸ τίθεσθαι ταύτην τὴν μορφὴν ἐν γένει ἐπὶ προσευχῆς καὶ δεήσεως, ἡγοῦνται τύπον, σημαίνοντα τὸ ἄλλως λεγόμενον παρ᾽ αὐτοῖς جل جلاله «ὁ ὑπερδεδοξασμένος» ἢ ὁ ὑπερύμνητος· ἀλλ᾽ εἴη ἂν καὶ «ὁ Θεὸς αὐτῶν» ἤτοι τῶν πατέρων· καθόλου γάρ, ἵνα μὴ προφέρηται τὸ ὄνομα τὸ θεῖον εἰς διάκρισιν ἀπὸ τῶν ψευδωνύμων θεῶν συχνάκις ἀπαντᾶται «ὁ Θεὸς τῶν πατέρων» ἡμῶν· κατὰ τοῦτο καὶ τὸ اللهي «ὁ Θεός μου» εἴη ἂν τὸ αὐτὸ τῷ אֱלֹהַי. Ἡ τοιαύτη δὲ γνώμη περὶ τοῦ Ἐλωΐμ, ὡς σημαίνει «ὁ Θεὸς αὐτῶν», οὐδόλως παραβλάπτει τὴν μνημονευθεῖσαν εὐαγγελικὴν ῥῆσιν ὡς τοῦ, *αὐτῶν*, σημαίνοντος ὁπωσποτε ὑπαρκτὰ καὶ μὴ καθάπαξ ἀπολεσθέντα ὄντα· διὸ καὶ ἡ ἑρμηνεία, *Θεὸς ζώντων* φυσικωτέρα καὶ καταλληλοτέρα φαίνεται. Ἔτι οὐ λανθάνει με καὶ πῶς οἱ ἑβραΐζοντες χριστιανοὶ ἐπεχείρησαν ἐκ τούτου, συμπίπτοντος τῷ πληθυντικῷ τύπῳ, Ἐλωΐμ, τὴν τῆς τῶν τριῶν προσώπων ἐν μιᾷ θεότητι ὑπάρξεως ἀπόδειξιν. Εἴ τις δὲ εἰδὼς τοὺς Ἄραβας ὀνομάζοντας τὸν Θεὸν μόνον له ΛΕ, ὅπερ ἀναλυόμενον δίδωσιν ἐν τῇ γλώσσῃ αὐτῶν τὸ, «*πρὸς ὃν*» (στρέφομεν δηλονότι καὶ ὑποκείμεθα κτλ.) καὶ διὰ τοῦ ἄρθρου ال, اللهم· *ὁ πρὸς ὃν*, ᾧ προστιθεμένου τοῦ اللهي: ὅ ἐστι *ὁ πρὸς ὅν μου* (οὕτως ἀκατονομάςως λέγοιτ᾽ ἂν τὸ θεῖον), κατὰ τοῦτο δικαίως εἰκάσει τὸ اللهم εἶναι κατὰ κυριολεξίαν *ὁ πρὸς ὃν αὐτῶν* ἤτοι τῶν πατέρων, τοῦ τεσδὶδ σημαίνοντος τὴν συνίζησιν τῶν δύο ⁚, εἰ καὶ οἱ διδάσκαλοι τῶν Μοχαμεδανῶν τὸ τεσδὶδ ἐπὶ τὸ م ἀνάγουσι, καὶ ἐπ᾽ αὐτὸ πάμπολλα λέγουσιν, ὅπως ἐπιστηρίξωσι καὶ τὴν προειρημένην σημασίαν τοῦ, *ὑπερδεδοξασμένος*.

§. 37. Τὸ ἰσχυρὸς ἢ ἱκανὸς שַׁדַּי (εὐφήμως λεγόμενον ἐπὶ τοῦ Θεοῦ) *παντοδύναμος, παντοκράτωρ*· καί ἐστιν ἐκ τοῦ שדד τοῦ σημαίνοντος *ἴσχυσεν* ἐν δυνάμει φοβερᾷ καὶ ἐξολοθρευτικῇ· οὐδ᾽ ἡ τοῦ ῥαββῖ Σαλομῶντος ἐτυμολογία ἡ ἐκ τοῦ ש, τοῦ ἀδιασπάστου ἀντωνυμικοῦ μορίου, σημαίνοντος τὸ, ὃς, ἥ, ὅ· καὶ τοῦ די ἀρκοῦν-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τος ἱκανοῦ ποιούντων σύνθεσιν. Ὁ Ἱκανὸς (ὅρα Βυξτορφ. ἐν λεξ.), μακρὰν ὁδεύει τῆς προειρημένης (καίτοι τῆς ἑβραϊκῆς διαλέκτου μὴ ἐνδιδούσης εἰς τοιαύτας συνθέσεις) ὥσπερ καὶ οἱ Ο′. πολλαχῇ μετέφρασαν· ἀλλ᾽ οἱ παράγοντες αὐτὸ ἐκ τοῦ שַׁד *μαστὸς*, ὥστε σημαίνειν *Μαστοφόρον* παντάπασιν ἀπίθανοι δοκοῦσιν· οὐδαμοῦ γὰρ τῆς Γραφῆς ἀναλελυμένως ἢ περιγραφικῶς, εἰ μὴ εἴποις τὸ *τροφεὺς*, ἐν ᾧ τὸ ἰσχυρὸς ἢ δυνατὸς παντάπασι κοινὸν ἐπίθετον τοῦ Θεοῦ, ὡς εἰκάζεται καὶ ἐκ τοῦ גבור καὶ ἐκ τοῦ גדול καὶ ἐκ τοῦ τῶν Περσῶν كبريا καὶ ἐκ τοῦ τῶν ἡμετέρων προγόνων ΚΑΒΥΡΟΣ· διὸ εἰκάζω, ὅτι τὸ ἄγαλμα τὸ *Μαστοφόρον* ἦν ἂν μᾶλλον ἱερογλυφικὴ παράστασις τῆς λέξεως שַׁדַּי.

§. 38. Τὸ צבאות πληθυντικὸν τοῦ צבא (Δύναμις Δυνάμεις ἢ δυνάμεων (Σαβαὼθ) συνεπακουομένου τοῦ, Θεὸς ἢ Κύριος) ὡς εἶναι Θεὸν ἢ Κύριον τῶν Δυνάμεων. Ἀλλ᾽ ἡ וֹת υτ (ωθ. κατάληξις) δύναται εἶναι καὶ τύπος ἀρσενικοῦ ἑνικοῦ, ὡς ἐν τῇ Ἀραβίδι ὁ πληθυντικὸς ἀρσενικὸς τύπος ταὐτός ἐστι τῷ ἑνικῷ θηλυκῷ, ἐξ οὗ ἐσχηματίσθη ἐν τῇ Ἑλληνίδι τὰ, βραχΥΤης, ταχΥΤης κτλ. καὶ εἰς ΟΤης, οἷον χρηστΟΤης, ἀγαθΟΤης κτλ. Τοιαύτη κατάληξις καὶ ἐν αὐτῇ τῇ Ἑβραΐδι σώζεται (Παρ. θ′. 1) חָכְמוֹת בָּנְתָה «Ἡ Σοφία ᾠκοδόμησε» κτλ. ὅπου ἀντὶ τοῦ חָכְמָה ἑνικοῦ τύπου εὑρίσκεται ὁ πληθυντικὸς εἰς ἑνικὴν σημασίαν, καὶ οὐχ ὡς λέγουσιν ἀσυμβιβάστως εἰς τὸ ὑποκείμενον οἱ γραμματικοὶ Ἰουδαῖοι ἑρμηνεύοντες «*ἑκάστη τῶν Σοφιῶν*.»

§. 39. Τὸ עליון Ὀλυὼν προφανέστατος ἀραβικὸς τύπος عليّ (προφ. ΑΛΥουν) σημαῖνον τὸ *ὕψιστος*.

Τὸ אדני Κύριος (πρόφ. Ἀδωναΐ)· ὅπερ τινὲς οὐ μόνον τρίτον τῇ τάξει, ἀλλὰ καὶ ὡς ἰσοδύναμον κατά γε τὴν ἀνθρωπίνην κατάληψιν τῷ יהוה ὅπερ καὶ οἱ Ο′. διηνεκῶς οὕτω μετέφρασαν. Καὶ δοκεῖ εἰς ταύτην τὴν ἰσοτιμίαν τῶν δύο ὀνομάτων στηρίζεται ἡ δύναμις τοῦ κατὰ Ἰουδαίων ἐπιχειρήματος τοῦ Κυρίου ἐκ τοῦ ψαλμικοῦ «Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου·» καὶ ἡ ἐπανάλη-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ψις τοῦ αὐτοῦ ὑπὸ τοῦ Πέτρου (Πράξ. β΄. 34.). Ἔχει δ᾽, ὡς δοκεῖ, ῥίζαν κοινὴν τῷ ἀραβικῷ ال σημαίνουσαν τὴν ἰσχὺν, τὴν κυριότητα καὶ τὸ Ἰσχυρὸς καὶ Κύριος· ἡ δὲ ῥίζα αὕτη γραφθεῖη ἂν γράμμασιν ἑβραϊκοῖς אדון. ἐξ οὗ ἐσχηματίσθη τακτικῶς διὰ τοῦ η ى אדני Κύριός μου, καί τοι τῆς μασωραϊκῆς προσῳδίας τὴν ἀρχαίαν προφορὰν εἰς δυϊκὸν τύπον μετενεγκούσης. Μακρὸν δ᾽ ἂν εἴη τὸ ἀναφέρειν, ὁπόσα οἱ τῶν Ἑβραίων γραμματικοὶ ἀκριβολογοῦνται περὶ τῶν φωνηέντων αὐτῆς τῆς λέξεως, ἵνα δείξωσιν, ὅτι καλῶς ποιοῦσιν ἀντικαθιστῶντες ἐν ταῖς ἀναγνώσεσι τῇ φωνῇ יהוה τὴν τοῦ אדני. Καὶ ὅρα ταῦτα διὰ μακρῶν ἐν τῇ Ἑβραϊκῇ γραμματικῇ τοῦ προμνημονευθέντος (§. 29.) ῥαββίνου Καλιμάνη σελ. 172. λέγοντος יהוה Signore. Nome ineffabile di Dio etc. ἤτοι «יהוה Κύριος· ὄνομα ἄφατον τοῦ Θεοῦ, εἰς οὗ τὰ τέσσαρα γράμματα εὑρίσκονται ἅπαντες οἱ χρόνοι τοῦ ὑπαρκτικοῦ ΕΙΜΙ ῥήματος, οὕτω היה ΗΝ, הוה ΕΣΤΙ καὶ יהוה ΕΣΤΑΙ· δι᾽ οὗ δείκνυσι τὸ θεῖον γράμμα αὐτὸν εἶναι τὸ ΟΝ τὸ αἰώνιον (ὁ ΗΝ, καὶ ὁ ΩΝ, καὶ ὁ ΕΡΧΟΜΕΝΟΣ. Ἰωαν. Ἀποκαλ. κεφ. α΄.). Τὸ θεῖον τοῦτο ὄνομα οὐκ ἀναγινώσκεται, ὡς γράφεται, διὰ τὸ ἀγνοεῖσθαι παρ᾽ ἡμῖν τὰ δύο ἀληθῆ φωνήεντα· ἐξῆν δὲ ἐκφωνεῖν αὐτὸ μόνῳ τῷ ἀρχιερεῖ ἅπαξ τοῦ ἐνιαυτοῦ ἐν τῇ ἡμέρᾳ τοῦ Ἐξιλασμοῦ εἰς τὰ Ἅγια τῶν Ἁγίων· ἐν γὰρ τῷ Λευϊτικῷ κδ΄. 6 ἀπαγορεύεται ῥητῶς ἡ ἐκφώνησις αὐτοῦ. «Καὶ ὁ ἐκφράζων τὸ ὄνομα Κυρίου θανάτῳ θανατούσθω». Μετὰ ταῦτα ὁ Ῥαββῖνος ἐπὶ τέσσαρσι λόγοις ἐπιχειρεῖ ἀποδεῖξαι, ὅτι ἀληθῶς καὶ οὐ κατὰ πρόληψιν ἀναγινώσκεται ὀρθῶς ἀντ᾽ αὐτοῦ τὸ אדני ΚΥΡΙΟΣ· οὐ μόνον γὰρ εἰς τὴν παράδοσιν, ἀλλὰ καὶ εἰς τὸν τῆς Μασώρης τονισμὸν τούτου τοῦ πανσέπτου ὀνόματος ὑπάρχουσι λόγοι ἰσχυροί, ὅτι οὕτω δεῖ ἀναγινώσκειν. Ἀλλ᾽ ἡμεῖς προσανατιθέμεθα τὴν ἔρευναν τῆς ἰσχύος αὐτῶν τῶν λόγων εἰς τοὺς τὰ τοιαῦτα σοφούς.

§. 40. Ταῦτα τοίνυν τὰ θεῖα ὀνόματα κατὰ παράδοσιν ἐκ στόματος εἰς στόμα καὶ ἀπὸ ἔθνους εἰς ἔθνος, καὶ ἀπὸ γραφῆς εἰς γραφὴν μετα-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

πεσόντα, μεταβληθέντα, μεταποιηθέντα, παρασχηματισθέντα, γνωστὰ ἐγένοντο ἁπανταχοῦ, καὶ δὴ καὶ εἰς τοὺς Ἕλληνας· καὶ τὸ μὲν ΙΛ ἐν τῷ ΙΛος καὶ ΙΛιον· ὅθεν ὁ Ὅμηρος εἶπεν ἐκ παραλλήλου «Ἴλιον ἱρήν»· τὸ δὲ ΕΛ ἐν τῷ ΕΛιεὺς τῷ σημαίνοντι κατὰ τὸν Ἡσύχιον τὸν Δία (ἐν Θήβαις)· τὸ δὲ ἈΔΩΝΑΙ ἐν τῷ Αΐδης καὶ ΑΔΩΝΙΣ καὶ ΑΙΔΩΝΕΥΣ. Ἀλλὰ καὶ τὸ ΑΠΟΛΛΩΝ οὐ μακρὰν τοῦ אב עליון ΑΒ-ΟΛΙΥΝ καὶ ἑλληνιζόμενον ΑΠ-ΟΛΛΩΝ (τὸ σημαῖνον ὁ Πατὴρ ὁ Ὕψιστος·) καὶ ἡ διὰ τῶν δύο Λ γραφὴ δείκνυσι πάλαι ποτὲ τὴν προφορὰν ὡς ἀληθῶς γεγονέναι πλησίον τοῦ ΑΠ-ΟΛΥΩΝ· ὡς καὶ ὁ Πλούταρχος ἐν τῷ Περὶ τοῦ ἐν Δελφοῖς ΕΙ ὀνομάζει τὸν Ἀπόλλωνα, ἀνεγνωκώς που ἴσως κατὰ τὴν ἀρχαίαν προφοράν. Καὶ τί παράδοξον τὸ διαφθαρῆναι τὰ ὀνόματα καὶ παραλλαγῆναι, βλέπουσι καθ' ἑκάστην τοσαῦτα ὀνόματα ἐκκλησιαστικῶν χρημάτων ἑλληνικά, οὕτω βαρβάρως μεταβαλλόμενα, ὥστε ἀμήχανον διαγινώσκεσθαι εἰς ἡμᾶς ἐκ τῆς προφορᾶς καὶ τῆς γραφῆς, εἰ μή πως ἐκ τῶν προτέρων γινώσκομεν τὴν σημασίαν· ἔστω δὲ παράδειγμα ἡ ΕΚΚΛΗΣΙΑ· ὥσπερ γὰρ τὸν χριστιανισμόν, εἴτουν τὴν εὐαγγελικὴν διδασκαλίαν τοῦ ΚΥΡΙΟΥ ἀπὸ τῆς ἑλληνικῆς γλώσσης καὶ παρ' Ἑλλήνων ἐδιδάχθησαν πάντα τὰ ἔθνη· οὕτω καὶ τὸ θεῖον ὄνομα τοῦ Ναοῦ ΕΚΚΛΗΣΙΑ· ἀλλ' οἱ μὲν Λατῖνοι γράφουσιν Ecclesia Ἐκκλέσια· οἱ Ἰταλοὶ Chiesa ΚΗιέσα· οἱ Γάλλοι Eglise. Ἐγλίζ· οἱ Ἱσπανοὶ Yglesia Ὑγλέσια· οἱ Ἄραβες كنيسة ΚεΝΥΣΕ· οἱ Ἀρμένιοι Եկեղեցի Εγγεγετσῆ. Εἰδ' εἰσὶ καὶ ἕτερα χριστιανικὰ γένη ἑτέραν φωνὴν ἀποδιδοῦντα εἰς τὴν ἐκκλησίαν: οἷον τὰ Σλαυϊκὰ Церква τσέρκβα· καὶ τὰ Γερμανικὰ Kirche Κίρχε· ὅθεν καὶ τὸ ἀγγλικὸν τσόρτσ Church· εἰ πιστέον τῷ κυρίῳ Κ. Οἰκονόμῳ τῷ ἐξ Οἰκονόμων (Δοκίμιον περὶ τῆς πλησιεστάτης συγγεν. τῆς Σλαυονο-Ρωσσικῆς γλώσσης πρὸς τὴν Ἑλληνικήν· λέξ. Церква) καὶ ταῦτα Ἑλληνικὴν γνωρίζει τὴν ἀρχὴν «*Κυριακόν.*» Ἐν αὐταῖς τοίνυν ταῖς Ἑλληνικαῖς λέξεσι, ταῖς μίαν μὲν ἐχούσαις ἀρχήν, μίαν δὲ σημαινούσαις ἰδέαν, οὐδεμία προφορικὴ ὁμοιότης· τί λοιπὸν θαυμαστόν, ἐὰν καὶ κατὰ τοὺς παναρχαιοτάτους καιροὺς ἐκείνους παρεσχηματίσθησαν αἱ ἐκ στόματος εἰς στόμα καὶ ἐξ ἔθνους εἰς ἔθνος λέξεις. Πάμπολλα τού-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

του παραδείγματα ἐν τῷ ἡμετέρῳ πονήματι *Περὶ τῆς μιᾶς καὶ μόνης ἀρχῆς τῆς ἰδέας τοῦ Θεοῦ*· ὅπου ἐδείξαμεν τὸ ὄνομα ΠΥΘΩΝ καὶ ΤΥΦων καὶ ΝΕΦΘὶς (ἀδελφὴ Ὀσίριδος καὶ γυνὴ ΤΥΦῶνος κατὰ τὸν Πλούταρχ. ἐν τῷ Περὶ Ἴσ. καὶ Ὀσ. συντάγματι), καὶ δὴ καὶ ἡ ΠΥΤΝα (Ἰνδικὴ θεὰ, ἀδελφὴ τοῦ Κὰνς ἀντικρισνεία καὶ καταχθόνιος ἰσχὺς ἐν τῇ σαρκώσει τοῦ Κρισνοῦ), καὶ παρ᾽ Ἕλλησι δὲ ΠοΤΝία, λέγεται ἰδίως ἡ ΠεΡΣε-ΦόΝη (οἱονεὶ ἱερὸν-πρόσωπον), θεὰ καταχθονία, καὶ ἡ ΑΡΑ, καὶ πληθυντικῶς αἱ ΕΡΥΝΝΥΣ. Ἀλλὰ καὶ ὁ Πο-ΣεΙΔ-ὼν, θεὸς θαλάσσιος ἀδελφὸς τοῦ Αἴδου κατὰ τὴν Ἑλληνικὴν Μυθολογίαν, ἐν τῇ τοῦ Ἰανοῦ θεολογίᾳ **NePTHuNus** ἢ **NePHTunus** οἷον ΤυΦῶΝ ὀνομάζεται, παραλλαγείσης οὐ μόνον τῆς φωνῆς, ἀλλὰ καὶ τοῦ ὑποκειμένου. Ἀλλ᾽ οἱ Ἕλληνες τὸν Αἴδην ΠΛοΥΤΩΝα ὠνόμασαν, οἱονεὶ ἐκ τοῦ ΠΥΤΩΝος προσθέσει τοῦ Λ, σημείου τῶν Λαμπρῶν θεῶν ἢ τῶν λεγομένων καταχθονίων, διὸ καὶ δᾷδας κατεχόντων. Πάντα δὲ ταῦτα ἔχουσιν ἀρχὴν τὸ ΠΟΤ ἢ ΠΥΤ τὸ σημαῖνον εἴδωλον ἢ μορφὴν توت ἀνάστροφον τοῦ Ἑλληνικοῦ ΤΥΠ, ὡς ἂν ἔλεγε τύπος, ἀνδρείκελον· ἐκ ταύτης τῆς μορφῆς καὶ τὸ ἰνδικὸν ΠαΓαΛ ἢ ΠαΛΤα ὁ Αἴδης, οἱονεὶ ΠΛΟΥΤΩΝ. Ἀλλὰ καὶ ὁ ΣέΡαΠις, ὅς ἐςιν ὁ αὐτὸς τῷ Αἴδῃ ἢ τῷ ΠΛοΥΤωΝι, ταὐτίζεται τῷ FΕΣΠεΡος καὶ **VESPeR** (τοῦ **VE** ὄντος προστεθειμένου, ὡς ἐν τῷ **VEJOVIS** κτλ.), καὶ κατ᾽ ἄλλην μορφὴν ΕΩΣΦοΡος. Τούτῳ τῷ ὀνόματι πλησιάζει καὶ τὸ ΠεΡΣε-ΦοΝη (τοῦ ΦοΝη ὄντος τοῦ Ἑβραϊκοῦ פנ σημαίνοντος *πρόσωπον*, ὃ δὴ καὶ ἐν τῷ ΠαΝ καὶ ΦαΝης ὁ Διόνυσος). Ἀλλὰ καὶ ὁ ΠεΡΣεὺς, ὁ ἔχων σύμβολον τοῦ ὀνόματος καὶ προσώπου αὐτοῦ τὸν Ἵππον פרש. ΠΡΣ. καὶ ὁ ἰνδικὸς [Σχ. 16.] ΠαΡ-ΜεΣ-ΥαΡ τὴν αὐτὴν ἀρχὴν ἔχουσι, διὰ τὸ γράφεσθαι καὶ αὐτὸν ἐν γένει ἔφιππον (ὃν μέντοι εἴποις ὀρθότερον Πα-ΡαΜε-ΣοΥαΡ, ἤγουν ὁ-ΡαΜ-ἔφιππος, ἢ ὁ ἵππος τοῦ ΡαΜ), ὥς ἐςιν ἐν τῇ τοῦ Ἰανοῦ Θεολογίᾳ **MeP Kurios** ἢ ὁ ΜαΡ-Τ-is, τοῦ Τ. σημαίνοντος Θεότητα, ὡς καὶ ἀναγεγραμματισμένως ἔχομεν τὸν ΜίΘΡαν, θεὸν αἱματοχαρῆ καὶ τὴν Α-ΡΤεΜιν διὰ τοῦ ἄρθρου ה θεὰν τοξοφόρον· οὐ μὴν ἀλλὰ καὶ τὴν ΔηΜηΤΡαν, ὅπου τὸ Δ ὅτι οὐ μέρος τοῦ ὀνόματος, δείκνυται καὶ ἐκ τοῦ ΓηΜηΤηΡ ὅπου καὶ σεσημειώκαμεν τὸ μὲν Δ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σεσημάνθαι ἐπὶ ἐμφάσεως Δαιμονίου, τὸ δὲ Γ. ἐπὶ ΓαΒΥΡου ἢ Καβύρου· ὅθεν τὸ ὄνομα ΚΥΠΡία. Τοῦτο τὸ ΡαΜ ἐστι ῥίζα τοῦ ΒΡαΜα [Σχ. 17.], ὃν οἱ μυθολόγοι Ἰνδοί, *ὡς Ὂν* αὐθύπαρκτον, ἐξ οὗ παρήχθησαν τὰ πάντα, γεραίρουσιν· ἐν ᾧ τὸ [Σχ. 18.], πληροῖ τὴν αὐτὴν χρείαν ἣν καὶ τὸ و ἐν τῷ Ἀραβικῷ ἰδιώματι καὶ τὸ ב ἐν τῷ Ἑβραϊκῷ καὶ τὸ Π ἐν τῷ ΠαΙΑΝ κτλ. ἐκ τούτου τοῦ ὀνόματος ἔχομεν καὶ ἡμεῖς τὸν ΒΡοΜιον. Ὥστε τὸ ΡΑΜ ἢ ΡΕΜ ἐςιν, ὅπερ ποιεῖ τὰς θεότητας ΡΑΜ καὶ ΠαρσεΡΑΜ· ἀλλὰ καὶ τὸ Ἑλληνικὸν ΕΡΜῆς, ἐξ οὗ καὶ ὁ Ἀραβικὸς حرمس (ὅθεν ἡμῖν τὸ κοινὸν ὄνομα Χουρμούζης), καὶ ὁ τοσοῦτο θρυλληθεὶς περσικὸς ΟΡΜουΔΣης. Διὰ τοῦτο ἴσως καὶ ἡ παρ᾽ αὐτοῖς μυθολογία, ὅτι ὁ ΡΑΜ καὶ ὁ ΠαΡΣεΡΑΜ πολὺν μαχεσάμενοι χρόνον πρὸς ἀλλήλους, εὑρέθησαν τέλος εἶναι *εἷς καὶ ὁ αὐτός*· δοκεῖ καὶ αὐτὸ σύνθετον ἐκ τοῦ ΡΑ ἢ ΡΕΑ καὶ Μ. ὅπερ ἐτίθετο εἰς πολλὰ τῶν θεῶν ὀνόματα, καὶ τὸ ΡΕΑ ἐστι μὲν ἡ μυθολογουμένη παρ᾽ Ἕλλησι μήτηρ τῶν θεῶν· καὶ ἡ ΗΡα καὶ ἡ ΕΡΑ (ἡ γῆ μήτηρ πάντων τῶν θεῶν)· καὶ ὁ Αἰγύπτιος Θεὸς ὯΡος, εἰμὴ γ᾽ ἐθέλεις παράγειν αὐτὸν ἐκ τοῦ Ἑβραϊκοῦ אוֹר τοῦ σημαίνοντος τὸ φῶς, σημαίνει δὲ καὶ ἐμφάνειαν, ὅθεν ἡμῖν καὶ τὸ ΟΡΑω, συῤῥίζον τῷ Ἑβραϊκῷ ראה· ἤτοι ἐν ἐσχάτῳ λόγῳ καταντᾷ σημαίνειν *εἰκόνα, ὄψιν*. Οὕτω μία λέξις κατὰ διαφόρους θρησκείας καὶ γλώσσας ἤλλαξε καὶ προφορὰν καὶ σημασίαν. Ἀλλὰ καὶ ἐν τῇ αὐτῇ γλώσσῃ καὶ ἐν τῇ αὐτῇ θεολογίᾳ τὸ αὐτὸ ὄνομα διαφόρους σημασίας ἔσχεν: οἷον ἐν τῇ Ἑλληνικῇ τὸ ΣΜιΝΘΕΥ καὶ ΣεΜΝαὶ Θεαί, καὶ ΝεΜεΣις, ἀντίστροφος ἀνάγνωσις, καὶ Ζεὺς ΝεΜέΣιος καὶ ἐκ τούτου ὁ βαρβαρικὸς θεὸς ἐ-ΣΜούΝους· καὶ ταῦτα πάλιν ἐκ τοῦ Σ. καὶ Μ. Ν. ὅθεν καὶ ὁ ἄμΜωΝ. Ταῦτα οὖν ἔστωσαν ἱκανὰ εἰς ἀπόδειξιν, ὅτι ἐν τῇ ἐρεύνῃ τῶν θείων ὀνομάτων παρὰ τοῖς ἐθνικοῖς Ἕλλησι πολλαὶ εὑρίσκονται λέξεις παραμεμορφωμέναι· καὶ πολλαὶ Ἑλληνικαὶ καὶ θεοτήτων Ἑλληνικῶν παραμορφωθεῖσαι, ἔδοξαν ὀνόματα ξένα βαρβάρων θεῶν, διὸ καί, ὡς ἑτέρων αὐθυποστάτων θεοτήτων ὀνόματα υἱοθετήθησαν παρ᾽ Ἕλλησιν, οἷον ὁ ΜΙΘΡας καὶ ὁ ΒΡαΗΜας ΟΡΜούσδας καὶ ὁ Ὧρος κτλ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

§. 41. Ἐν τῷ προμνημονευθέντι ἡμετέρῳ πονήματι *Περὶ τῆς μιᾶς καὶ μόνης Ἀρχῆς κτλ.* ἐδείξαμεν πῶς ἐδύνατο διὰ τὴν ἐσκορπισμένην γραφὴν τὸ αὐτὸ ὄνομα ἀναγινωσκόμενον ἢ ἐπαριστέρως, ἢ ἐπιδεξίως, ἢ καὶ ἀναγράβδην πολλὰς καὶ ποικίλας ἔχειν φωνάς:

פ Π

οἷον τὸ Ἑβραϊκοῖς γράμμασι ד י καὶ Ἑλληνικοῖς Υ Ι ὅπερ σημαίνει פני יהוה « πρόσωπον Κυρίου » γραφόμενον ἐπὶ συμβολικαῖς παραστάσεσιν, οἷον ἐπί τινος ἀγάλματος ἐγκαθιδρυμένου ἐπὶ θρόνου καὶ ἔχοντος σκῆπτρον (σύμβολον ἰσχύος), καὶ ἀετὸν (σύμβολον βασιλείας), ἢ καὶ κεραυνὸν (σύμβολον τῆς ἰσχύος ἐπὶ τὰ στοιχεῖα αὐτὰ) ἐποίησε τὸν ΙΥ. Πιτερ ἐν τῇ τοῦ Ἰανοῦ θεολογίᾳ· ἐξ ἧς γραφῆς οἱ Ἕλληνες ἔσωσαν τὸ, ΥΠΙγγες ἢ Οὔπιγγες (ὕμνοι εἰς Ἄρτεμιν), οὕτω καὶ περὶ τῶν λοιπῶν. Ἔτι δὲ ἐντεῦθεν καὶ τὸ τῶν Ἐτρούσκων ἢ ἀρχαίων Τυῤῥηνῶν YPIREE καὶ ἡ τῶν Λατίνων Θεὰ OPS ὈΨ συνώνυμον τοῦ ΡΕΑ ἢ ὡς ἀνωτέρω ראה ὄψις.

§. 42. Τὸ τοίνυν τετραγράμματον יהוה ἐπίσημον παρὰ τοῖς σοφοῖς τῶν Ἑλλήνων ὑπὸ τὸ ὄνομα, *Τετρακτύς*· οὐ γὰρ μόνον τὰ τέσσαρα στοιχεῖα, τὰ τέσσαρα μέρη τοῦ κόσμου, τὰ τέσσαρα πνεύματα, τοὺς τέσσαρας χυμοὺς, τὰς τέσσαρας ὥρας τοῦ ἔτους, ἀλλὰ κἂν τῇ ἡμετέρᾳ ψυχῇ οἱ Πυθαγόριοι ἐθεώρουν τέσσαρά τινα Νοῦν, Ἐπιστήμην, Δόξαν, καὶ Αἴσθησιν· οὕτω γὰρ ὁ Μακρόβιος ἐν τῷ, Ἐνύπνιον τοῦ Σκιπίωνος, συντάγματι αὐτοῦ (Βιϐ. ά. κεφ. 6.)

Οὐ μὰ τὸν ἡμετέρᾳ ψυχᾷ παραδόντα Τετρακτὺν,
Παγὰν ἀεννάου φύσεως ῥιζώματ᾽ ἔχουσαν.

Τὰ αὐτά φησι καὶ ὁ Πλούταρχος (Ἀρέσκ. Φιλοσ. Α. 3) ἐκ τῶν Ἐμπεδοκλέους περὶ τῶν ῥιζωμάτων τῆς Φύσεως « Τέτταρα μὲν λέγει τὰ στοιχεῖα· Πῦρ, Ἀέρα, Ὕδωρ, Γῆν· δύο δὲ ἀρχικὰς δυνάμεις Φιλίαν καὶ Νεῖκος· ὧν ἡ μέν ἐστιν ἑνωτικὴ, τὸ δὲ διαιρετικὸν (ἡ ἕλξις καὶ ὦσις δηλονότι τῶν νεωτέρων)· φησὶ δὲ οὕτω·

Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε
Ζεὺς αἰθὴρ, Ἥρη τε φερέσβιος· ἠδ᾽ Ἀϊδωνεὺς
Νῆστις θ᾽, ἣ δακρύοις τέγγει κρίμωνα βρότειον. »

Ἅπερ πολλὴν ἔχουσι τὴν ἐμφέρειαν πρὸς τὰ τοῦ Μαντείου περὶ τοῦ ΙΑΩ (§. 22). Οὐ μόνον δὲ ἀλλὰ καὶ πολλὴ ἡ μαθηματικὴ τῆς

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τετρακτύος θεωρία, ἐφαρμοζομένης εἰς δύο σειρὰς ἀριθμητικάς, κατὰ τὰ ὑπὸ τοῦ Πλουτάρχου (Περὶ Ἴσιδος κτλ.) ἀναφερόμενα· «Ἡ καλουμένη τετρακτύς: τὰ ἓξ καὶ τριάκοντα, μέγιστος ἦν ὅρκος, ὡς τεθρύλληται, καὶ Κόσμος ὠνόμασται, τεσσάρων μὲν ἀρτίων τῶν πρώτων, τεσσάρων δὲ τῶν περισσῶν εἰς τὸ αὐτὸ συντεθειμένων ἀποτελούμενος» (ἤτοι 2. 4. 6. 8. καὶ 1. 3. 5. 7.) ἐξ ὧν οὕτως ἂν ἐξαγάγοις καὶ τὰ *ἓξ καὶ τριάκοντα* $\frac{1}{2}$ | 3. $\frac{3}{4}$ | 7. $\frac{5}{6}$ | 11. $\frac{7}{8}$ | 15 = 36. Θέων δ' ὁ Σμυρναῖος (ἐν τῷ Τῶν κατὰ Μαθηματικὴν χρησίμων εἰς τὴν τοῦ Πλάτωνος ἀνάγνωσιν, περὶ Μουσικῆς κεφ. λή) ἐν τῇ τοῦ Παντὸς τοῦ Κόσμου συστάσει Ἕνδεκα ἀπαριθμεῖ τὰς Τετρακτύας. Ἀλλὰ δοκεῖ τὴν Τετρακτὺν, ὡς χρησίμην οὖσαν ἐπ' ὅρκῳ, θεῖόν τι καὶ οὐ φυσικὸν ἢ μαθηματικὸν θεώρημα εἶναι ἐν τῇ πυθαγορικῇ σχολῇ· οὕτω γὰρ ἐπ' αὐτῇ παίζει καὶ ὁ Λουκιανὸς (Πρᾶσις Βίων) «Πυθ. Εἶτ' ἐπὶ τουτέοισιν ἀριθμέειν. ΑΓ. Οἶδα καὶ νῦν ἀριθμεῖν. Πυθ. Πῶς ἀριθμέεις; ΑΓ. Ἕν. Δύο. Τρία. Τέτταρα. Πυθ. Ὁρᾷς, ἃ σὺ δοκέεις τέτταρα, ταῦτα δέκα εἰσὶ καὶ τρί-

.

. .

. . .

γωνον ἐντελὲς (ἤτοι . . . . ἰσόπλευρον καὶ ἰσογώνιον) καὶ ἡμέτερον ὅρκιον. ΑΓ. Οὐ μὰ τὸν μέγιστον τοίνυν ὅρκον, τὰ Τέτταρα! οὔποτε θειοτέρους λόγους ἤκουσα, οὐδὲ μᾶλλον ἱερούς.» Ἀλλὰ καὶ Ἰωάννης ὁ Μερσάμιος (Chron. Can. Saecul. XI. Αἴδης §. IV.) ἀνώτερόν τι ἐν τῇ Τετρακτύϊ θεωρῶν, ἰδοὺ τί λέγει «Tetractys hic etc. ἤτοι Τετρακτὺς ἐνταῦθα οὐκ ἔστιν ἡ Τετράς, ἀλλὰ μυστικὸν τοῦ Δημιουργοῦ ὄνομα (εἴτε Δημιουργὸν αὐτὸν, εἴτε ἄλλως Νοῦν, εἴτε Θεὸν ὀνομάσαις)· ἐξ οὗ κίνησιν ἀΐδιον ἔσχεν ἡ ἀθάνατος ψυχή·» ὅρα καὶ Γατάκερον Περὶ Τετραγραμμάτου. (*) Καὶ δὴ καὶ ὁ Στανλέϋς (Hist. Phil. VIIJ. Discipl. Pythagor. p. II. c. JX.) Imo ipsum Deum quaternario representabat Pythagoras «μᾶλλον δὲ τὸν Θεὸν αὐτὸν τῇ Τετρακτύϊ ἐσήμαινεν ὁ Πυθαγόρας.» Ἀλλὰ καὶ ὁ ἀπειρομαθὴς μέγας Σελδένος Περὶ Συρίων Θεῶν. Β. ά. (Seldenus De Diis Syriis Syntagma II. c. I.) εἰκάζει τὸν

(*) Τὸν Γατάκερον αὐτὸν οἶδα μόνον ἔκ τινων ἀποσπασμάτων, οὐδὲ τῷ συγγράμματι ἐνέτυχον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Πυθαγόραν λαβεῖν τὴν Τετρακτὺν ἐκ τοῦ Τετραγραμμάτου. Καὶ ἡ ἰδέα αὕτη ἀνδάνει μάλιστα τῷ σοφῷ Ὑετίῳ πιθανολογουμένῳ ἐκ τῆς εἰς Βαβυλῶνα περιηγήσεως αὐτοῦ, βιοῦντος ἔτι τοῦ Δανιὴλ ἢ καὶ Ἰεζεκιὴλ τῶν προφητῶν· (ὅρα δὲ καὶ Βενδελῖνον ἐν Διατριβῇ περὶ Πυθαγορείου Τετρακτύος Wendelini Dissertatio de Pythagor. Tetractyos). Καὶ τὸ εἶναι δὲ ὅρκον τὴν τετρακτὺν ἐμφαίνει ὄνομα θεῖον θείου προσώπου· ὃ δὴ οὐ μόνον ἐν τῇ ἤδη φιλοσοφούσῃ Ἑλλάδι, ἀλλὰ καὶ ἐν τῷ ἀρχαίῳ συνοικισμῷ τῆς Ἑλλάδος ἦν γνωστὸν διὰ τῆς θαυμαστῆς τετρακτύος.

§. 43. Παρὰ γὰρ Λακεδαιμονίοις ἀρχῆθεν ἐν τιμῇ καὶ σεβασμῷ ἦν τὸ *τετράωτον* λεγόμενον ξόανον τοῦ Ἀπόλλωνος: ἤγουν τὸ φέρον ἢ ἔχον τέσσαρα ὦτα, κατὰ τὴν κοινὴν ἰδέαν· ὅπερ δοκεῖ, μάλιστα ἂν ὑποθῶμεν αὐτούς, ὡς καὶ ἱστορικῶς ἐν τῷ τῶν Μακκαβαίων βιβλίῳ γέγραπται, τῶν αὐτῶν προγόνων εἶναι μετὰ τοῦ Λαοῦ τῶν Ἑβραίων « εὑρέθη ἐν *γραφῇ* περί τε τῶν Σπαρτιατῶν καὶ τῶν Ἰουδαίων ὅτι εἰσὶν ἀδελφοί, καὶ ὅτι εἰσὶν ἐκ τοῦ γένους Ἀβραάμ » ( Α. Μακκαβ. ιβ΄. 21 )· ἔτι καὶ τὸ ὄνομα *ΛαΚεΔαίΜονες* σοφός τις ( De Dominis Apolog. Sententiæ Patrum de Septuaginta virali versione Dissert. V. §. X. ) πιθανολογεῖ ἐκ τοῦ לקדמונים ὅπερ αὐτὸς μὲν ἑρμηνεύει διὰ τοῦ « Οἱ Ἀσιατικοὶ », ἡμεῖς δὲ πιστότερον διὰ τοῦ « Οἱ Ἀρχαῖοι »· δοκεῖ λέγω, τὸ κατ' ἀρχὰς συμβολικώτερον γενόμενον ἢ καὶ λεχθέν· Ἑβραϊστὶ γὰρ אות *ωτ* σημαίνει γράμμα, διὸ τὸ *τετράωτον* εἴη ἂν λέξις ( hybride ) σημαίνουσα αὐτὸ τὸ τετραγράμματον. Οὐδ' ἐξέφυγεν Ἀθανάσιον τὸν Κίρχερον ἡ τήρησις αὕτη (ὅρ. Οἰδιπ. Kab. Hebræor. Class. jv. c. vij. ), καί τοι συγκεχυμένως μὲν ἀναφέροντα τὰ *ὦτα* εἰς Δία, παραδραμόντα δὲ καὶ τὸ ἐπισημότατον אות *ωτ*, ὡς σημαῖνον γράμμα.

§. 44. Οὐ μόνον δὲ ἐν τῷ ῥηθέντι τετραώτῳ ἦν γνωστὸν συμβολικῶς τὸ θεῖον τετραγράμματον ἐπὶ τὸ πρόσωπον τοῦ Ἀπόλλωνος, ἢ ὡς λέγει ὁ Κίρχερος, τοῦ Διός· ἀλλ' ἔτι καὶ ὡς θειασμὸν εἶχον αὐτὸ ἐπὶ τὸ πρόσωπον τοῦ Διονύσου. Τί γὰρ ἄλλο τὸ ΕΥΟΙ ἢ κατὰ τὴν ἀρχαιοτάτην Ἰωνικὴν γραφήν, ἥτις καὶ ὀρθοτέρα ΕΥΑΙ (Ἀριστοφ. Ἐκκλ. 1180) ὁ Βακχικὸς θειασμός, εἰμὴ ἀντίστροφον τὸ ΙΟΥΕ, λέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ξις πλησιεστάτη τῷ ΙΕΥΕ ἢ יהוה ΙεΧοΥαΧ καὶ τῶν Λατίνων JOVEs (κατὰ τὴν ἀρχαίαν κατάληξιν, ἀντὶ τοῦ Is) μόνην διαφορὰν ἔχουσα τὸ Ο ἀντὶ τοῦ Ε, ὃ δὴ καὶ ἐν τῷ ΙΟΒακχος ἐτηρήθη, καὶ ἐν τῷ ΙΩ κτλ. Ὅτι δὲ τὸ ΕΥΟΙ οὐκ ἐκ δυοῖν ἑλληνικῶν λέξεων ὥς τινες ὑπέλαβον ἀτόπως, ἀλλ' ὑφ' ἓν ἀναγινωσκόμενον ὄνομα κύριόν ἐςι, καὶ ὁ Λουκιανὸς (Προσλαλιὰ ἢ Διόνυσος) σημειοῖ . . . . «καὶ σείειν ἡνωμένας τὰς κόμας, ὁπότε προσίοι, καὶ βοᾷν ΕΥΟΙ· τοῦτο δ' εἰκάζειν καλεῖσθαι αὐτῶν τὸν Δεσπότην». Εἴποιμι δ' ἂν καὶ τὸ ΕΥΓΕ αὐτὸ οὐδὲν ἕτερον εἶναι ἢ ΕΥΙΕ, προφερομένου τοῦ Ι δασυτέρως· καὶ οἱ Ἄραβες βεβαιωτικῶς ἐπιφωνοῦσι ايوا καὶ γράμμασιν Ἑβραϊκοῖς איוא τοῦ א πολλάκις τόπον κατέχοντος τοῦ ה ὡς ἐν τῷ Συρικῷ ἰδιώματι καὶ ἐν τῷ Σαμαρειτικῷ· καθὰ καὶ ὁ Κλέρικος ἐν τῇ Κριτικῇ αὐτοῦ Τέχνῃ ἐσημειώσατο, καὶ καθὰ οἴδαμεν γεγονὸς ἐν τῷ Ἑλληνικῷ ἈλληλούΙΑ.

## ΠΑΡΕΚΒΟΛΗ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ἀλλ' ἐγὼ ἀναχθεὶς εἰς τὸ πέλαγος τῶν πυθαγορίων ὑπολογισμῶν, ἢ καὶ φθὰς εἰς τὴν ἀπότομον τῆς ἱερᾶς Τετρακτύος, τολμήσω τόλμημα ἐξαίσιον, οἱονεὶ τὸ λευκάδιον πήδημα τῶν ἐραστῶν τῆς πλατωνικῆς φιλοσοφίας· ἤ, ἂν ἐθέλῃς, τὰς παλιρροίας τοῦ Πλατωνικοῦ Εὐρίπου, ὅπου ἀπελπισίᾳ ἐπνίγησαν τοσοῦτοι ἔξοχοι ἄνδρες. Ἔστι δὲ τοῦθ' ἡ τοῦ πλατωνικοῦ γρίφου ἑρμηνεία, πηγάζουσα κατ' ἐμὴν κρίσιν εὐχερέστατα ἐκ τῶν μέχρι τοῦδε εἰρημένων περὶ τῶν ἱερῶν ἀριθμῶν. Σὺ δ' «ἄθρει περισκοπῶν, μή τις τῶν ἀμυήτων ἐπακούει.» (Πλάτ. παρὰ Κλημεν. Στρωμ. Έ.)

ά. «Ἔστι δὲ θείῳ μὲν γεννητῷ περίοδος, ἣν ἀριθμὸς περιλαμβάνει τέλειος, ἀνθρωπείῳ δὲ, ἐν ᾧ πρώτῳ αὐξήσεις δυνάμεναί τε καὶ δυναστευόμεναι τρεῖς ἀποστάσεις, τέτταρας δὲ ὅρους λαβοῦσαι ὁμοιούντων τε καὶ ἀνομοιούντων καὶ αὐξόντων καὶ φθινόντων, πάντα προσήγορα καὶ ῥητὰ πρὸς ἄλληλα ἀπέφηναν· ὧν ἐπίτριτος πυθμὴν πεμπάδι συζυγεὶς, δύο ἁρμονίας παρέχεται τριC (IN) αὐξη-

θείς· τὴν μὲν, ἴσην, ἰσάκις, Ρ´ τοσαυτάκις, τὴν δὲ, ἰσομήκη μὲν τῇ προμήκει δὲ· Ρ´ μὲν ἀριθμῶν ἀπὸ διαμέτρων ῥητῶν (πεμπάδος) δεομένων ἑνὸς ἑκάστων, ἀῤῥήτων δὲ, δυοῖν. Ρ´ δὲ κύβων, τριάδος· ξύμπας δὲ οὗτος ἀριθμὸς γεωμετρικὸς, κύριος ἀμεινόνων καὶ χειρόνων γενέσεων. » (Πλάτ. Πολιτ. Ἐ.)

ϐ´. Ἀρκτέον δὲ ἐπ᾽ εὐκαταληψίᾳ τῶν ἀναγνωστῶν ἀπὸ τῆς ἐκφάνσεως τοῦ ζητουμένου ποσοῦ, τοῦ ἐμφαίνοντος, τὴν περίοδον τῆς ἀνθρωπίνης ζωῆς, θεωρουμένης ὡς λαχούσης αὐξήσεις (ἀναγομένας ἀκολούθως εἰς μαθηματικοὺς ὑπολογισμοὺς), δυναμένας, ἤτοι ποσότητας καθ᾽ ἑαυτὰς πολλαπλασίωσιν δηλούσας, ἢ δυναστευομένας, ἤτοι ποσότητας παθαινομένας ὑφ᾽ ἑτέρων ἀριθμῶν· εἰσὶ δὲ αἱ λέξεις τεχνικαὶ *δυνάμεναι καὶ δυναστευόμεναι*, εἰλημμέναι ἐκ τοῦ γλωσσήματος τῶν ἀστρολόγων, ἢ γενεθλιολόγων, οἵτινες μέχρι τῆς σήμερον ἐν τοῖς ἡμετέροις Βροντολογίοις λέγουσι τὸν Ἄρη· φερ᾽ εἰπεῖν, *Δυνάστην*, *Κύριον*, ἢ *Κυριεύοντα* τοῦ χρόνου, καὶ *Κρονοκρατορίαν* κτλ. ὡς καὶ οἱ ἀνατολικοὶ λέγουσι ΣΑΧιΒ, οἱονεὶ Κύριος.

γ´. Ἔστω οὖν ὁ ἐμφαίνων τὴν τῆς ἀνθρωπείου ζωῆς περίοδον ἄγνωστος ἀριθμὸς Χ. ἐν αὐτῷ θεωροῦνται τρεῖς ἀποστάσεις (ἤτοι τρεῖς ἀριθμοὶ) ἀπὸ τοῦ ἑνὸς τοῦ σημαίνοντος τὸν Θεόν, τὸν μήτε δυνάμενον δηλαδὴ αὐξῆσαι ἑαυτόν, μήτε δυναστευόμενον· διὸ καὶ ἄτμητον καὶ ἄτρεπτον κατά τε χρόνον καὶ διάστημα καὶ ποσὸν καὶ ποιὸν, ὡς εἴδαμεν (§ 3.) καὶ τὸν Πλούταρχον εἰρηκότα « Εἷς ὢν ΕΝΙ τῷ νῦν τὸ ἀεὶ πεπλήρωκε· » καὶ τοῦ *δύο*, τοῦ σημαίνοντος τὴν Ὕλην καὶ τὸ Εἶδος (§. 23). Τῶν τριῶν δὲ τούτων (*ὢν*, τοῦ κειμένου) *ὁ ἐπίτριτος πυθμὴν*, ἤτοι ὁ πρῶτος τῶν ἐπιτρίτων ἀριθμῶν, τουτέστι τὸ 4. ἑταιριζόμενος τὴν *πεμπάδα*, τουτέστι τὸ, 5. ἀποτελεῖ (ὁ πυθμὴν δηλαδὴ καὶ οὐχ οἱ ἕτεροι· οὐ γὰρ ἔχουσιν ἐκεῖνοι τὰς μεγάλας ἀρετὰς τῶν τεττάρων) *δύο ἁρμονίας*, ἤτοι διατάξεις ποσοτήτων, ἢ σειρὰς ἐξισωτικὰς, οὐ μὴν δὲ καὶ μόνος, ἀλλ᾽ ἐνδυναμούμενος ὑπὸ τῶν τριῶν, 3. καὶ οὕτως ἀποδίδωσι τὸν ἀριθμὸν Χ.

δ´. Ἡδέως ἄγομαι, καὶ κλίνω ἵνα ἐκλάβω τὴν λέξιν *ἐπίτριτος* οὐχ ὡς κοινῇ ἐν τῇ μαθηματικῇ καὶ μουσικῇ λέγεται, ἀλλὰ τὴν τρίτην αὔξιν ἢ δύναμιν τοῦ πυθμένος: ἤτοι τοῦ τέσσαρα· οὕτω γὰρ ἂν εἴη ἡ μαθηματικὴ ἀπαγγελία τοῦ τε ζητουμένου καὶ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐξαγομένου ἐκ τοῦ διαγράμματος ποσοῦ, ὡς ὀψόμεθα· καὶ γὰρ

ἐπίτριτος πυθμὴν $4^3 = 64$
πεμπάδι συζυγεὶς . . . . . . 5
τρισὶν (ἢ τρεῖς) αὐξηθεὶς . . . 3

72. Εἰπὼν δὲ «ἀποςάσεις», καὶ «ἐπίτριτος πυθμὴν πεμπάδι συζυγεὶς» οὐ μάτην ἀμέσως ἐπέφερε, «δύο ἁρμονίας παρέχεται·» ἡ γὰρ τοιαύτη ἔκφρασις ἀναφέρεται εἰς τὴν διὰ τεσσάρων καὶ διὰ πέντε ἁρμονίαν, τὸ δὲ τρία προσείληφεν ὡς τὴν προσλαμβανομένην· ἀπήγγειλε δὲ ταῦθ᾽ οὕτω, καὶ οὐχ ἁπλῶς 72, ὅπως εὐκόλως νοηθῇ ἡ τοῦ ἑπομένου διαγράμματος διατύπωσις, παρέχοντος τὴν αὔξιν καὶ φθίσιν. Πείθομαι δὲ τοῦθ᾽ οὕτως ἔχειν, ά. διότι πυθμὴν παρὰ τοῖς ἀμφὶ τὸν Πυθαγόραν, λέγεται ἡ τετρακτὺς, ἢ τὰ τέτταρα, ἐκλαμβανομένη ὡς ἀρχὴ, ἥτις ἄλλως καὶ *βυθὸς* παρὰ τῷ Συνεσίῳ (Ὕμ. Β΄) ὀνομάζεται, ὥστε τὸ *ἐπίτριτος* ἐνταῦθα πάντη περιττὸν, εἰ μή γε ἐσήμαινεν ἕτερόν τι. β΄. Τί παράδοξον, εἴ πως ὁ τὰ τετράγωνα διαμέτρους καλέσας, ἀναφερόμενος εἰς τὸ ὀρθογώνιον (οὗ τὸ τῆς ὑποτεινούσης, ἀποβαινούσης ἅμα τε διαμέτρου ἐν περιγραφῇ ἡμικυκλίου, καὶ διαγωνίου, ἐν συμπληρώσει τετραπλεύρου, τετράγωνον ἶσον εἶναι τοῖς δυσὶ τετραγώνοις τῶν παρακειμένων πλευρῶν ὁ Πυθαγόρας πρῶτος εὑρὼν, ἑκατόμβην, ὥς φασιν, ἔθυσε), καὶ οὕτως οὐ μόνον τοῦτο τὸ θεώρημα συνάπτων τῷ τετραγωνισμῷ τοῦ ὀρθογωνίου, τριγώνου, ἀλλὰ καὶ τὴν κατάστρωσιν τοῦ διαγράμματος προαναγγέλλων, τί παράδοξον, λέγω, εἴπως ἐκάλει καὶ ἐκ τοῦ *ἐπισήμου τρία* ἐπίτριτον τὴν τρίτην αὔξιν ἢ δύναμιν: ἀναφερόμενος μάλιστα εἰς τὸ τριχῇ διαστατὸν, εἴτε, ὡς λέγει ὁ Ἀριστοτέλης, *στερεόν*; Εἶτα δέ μοι ὅρα καὶ ἡλίκην μαθηματικὴν χάριν ἔχει ὁ λόγος τῷ Πλάτωνί, συνοψίζοντι κατά γε τὰς ἀστρολογικὰς περιττότητας καὶ δοξασίας μικροῦ δεῖν πάσας τὰς πρωτογόνους μαθηματικὰς καὶ μουσικὰς θεωρίας εἰς ἐφαρμογὴν πρὸς τὸ ὁμοειδὲς ἢ πολύπλοκον τῶν κατὰ τὴν ἀνθρώπινον περίοδον μεταβολῶν τε καὶ ἀλλοιώσεων.

έ. Τῶν διαληφθεισῶν τοίνυν ἁρμονιῶν τὴν μὲν *Πρώτην* παρέχεται ὁ τοιόςδε πυθμὴν, τοιάνδε παραλαβὼν βοήθειαν, *ἴσην*, διὰ τὸ περιέχειν αὐτὴν ποσότητας ἴσας (τὰ γὰρ τετράγωνα καὶ οἱ κύβοι



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

γραμμικῶς θεωρούμενα ἶσά εἰσι καὶ οὐχ ἑτερομήκη), καὶ *ἰσάκις*, ἤτοι τρὶς διὰ τὸ εἶναι τρεῖς μὲν ἀποστάσεις, τρεῖς δὲ καὶ τὰς μορφὰς αὐτῆς (τῆς ἴσης)· ἔτι δὲ καὶ *Ῥητὴν ἢ Ῥητῶς* διὰ τὸ εἶναι τὸν αὐτὸν ἀριθμὸν, καὶ *τοσαυτάκις* διὰ τὸ ἐπαναλαμβάνεσθαι τρίς. Τὴν δὲ Δευτέραν *ἰσομήκη* μὲν, διὰ τὸ ἔχειν καὶ αὐτὴν τρία κῶλα, ἀλλ' οὐ πληροῦσαν τὸ ὅλον ποσὸν Χ. Ῥητῶς ἢ ἀῤῥήτως τοσαυτάκις ἐπαναλαμβανομένου τοῦ αὐτοῦ ἀριθμοῦ, ἀλλὰ προσλαμβάνουσαν *προμήκη* ἀριθμὸν, ἤτοι γινόμενον ἐξ ἀνίσων παραγόντων, οὕτω:

# ΔΙΑΓΡΑΜΜΑ.

ΑΡΜΟΝΙΑΙ ΔΙΑΓΟ.

ΙΣΑΚΙC

ΑΡΜΟΝΙΑ ΙΣΗ

Ῥητῶν ἀριθμῶν ἀπὸ διαμέτρων ῥητῶν
(πεμπάδος.)
Δεομένων Ἑνὸς ἑκάστων
$5^2 - 1 + 5^2 - 1 + 5^2 - 1 = X$ ὅρ. α'.
τοσαυτάκις.
(ἀπὸ διαμέτρων)
Ἀῤῥήτων
(Δεομένων) Δυοῖν
$4 + (4 - 2)^2 + (4 - 2)^3 = X$ ὅρ. β'.
τοσαυτάκις.
(ἀπὸ) Ῥητῶν Κύβων
(Δεομένων) Τριάδος.
$3^3 - 3 + 3^3 - 3 + 3^3 - 3 = X$ ὅρ. γ'.
τοσαυτάκις.

ΑΡΜΟΝΙΑ ΙΣΟΜΗΚΗΣ
μὲν τῇ προμήκει δέ·
$3(4 + 5) + 4 \times 5 + 5^2 = X$ ὅρ. δ'.

ΤΕΤΤΑΡΑΣ ΟΡΟΥΣ ΛΑΒΟΥΣΑΙ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σημείωσις. Αὕτη δὲ ἡ ἐσχάτη ποσότης ἀναγομένη εἰς γραμμὰς τῇ Εὐκλειδίῳ μεθόδῳ πρόδηλον παρέχεται τὸ συζευκτέον τῷ τετραγώνῳ πρόμηκες. Ἀλλὰ καὶ καθέτως λογιζόμενοι οἱ ὅροι τέσσαρας μικτὰς παρέχονται ἐξισώσεις δηλούσας τὸ X. Ὧν αἱ μὲν δύο πρῶτοι κάθετοι τῆς ἴσης, προσλαβοῦσαι ἑκάστη μίαν προμήκη, ἡ μὲν μείζων τὴν ἐλάσσονα, ἡ δ' ἐλάσσων τὴν μείζονα, δύο· ἡ δὲ τρίτη κάθετος, ἑτέρας δύο, μίαν μὲν ἐκ τῶν μέσων ἀπροσδεᾶ, ἑτέραν δὲ ἐκ τῶν ἄκρων προσλαβοῦσαν τὴν μείζονα ἐπιμήκη τρισὶν αὐξηθεῖσαν. Ὅρα δὲ πῶς καὶ τὸ κεφάλαιον τῶν θετικῶν ποσοτήτων τῆς ἴσης ἁρμονίας παρέχεται τὸ ἥμισυ τῆς περιόδου, τῶν δ' ἀποθετικῶν, τὸ διπλάσιον τῶν περιττῶν μετὰ τοῦ κεφαλαίου τῶν ἀρτίων δίδωσι τὸ ἕτερον ἥμισυ· ἔτι δὲ σημείου, ὅτι ὁ ζητούμενος ἀριθμὸς X. ἔχει καὶ δύο ἄλλας ἰδιότητας, τὴν μὲν ὡς συνιστάμενος ἔκ τε τοῦ Κύβου τοῦ πυθμένος καὶ τοῦ κύβου τῆς τετραγωνικῆς ῥίζης τοῦ πυθμένος αὐτοῦ, θεωρουμένου ὡς τετράγωνον οἷον, $(\sqrt{4})^3+4^3=X=3+5+4^3$, τὴν δὲ ἐκ τοῦ πολλαπλασίου αὐτῶν σὺν τῷ κεφαλαίῳ $3\times4\times5+3+4+5=X$. Ταῦτα δ' ἀκριβολογούμεθα, ὅπως καταφανὲς γένηται, ὅτι ὁ τοῦ ὅρου τῆς ἀνθρωπίνης ζωῆς ἀριθμός, πολλὰς ἰδιότητας κεκτημένος, ἤτοι πολλαχῶς δηλούμενος, καὶ ἀκολούθως, καθὰ φησὶν ὁ Πλάτων, «ἐν ᾧ πρώτῳ αὐξήσεις» κτλ. ὤφειλε πολλὴν ὕλην χορηγεῖν εἰς τὰς Πυθαγορικὰς περὶ ἀριθμῶν σκέψεις, καὶ ἔψον, εἰς οὓς αἱ ἀστρολογικαὶ καὶ ἀποτελεσματικαὶ μελέται πορισμὸς ἐγίγνοντο. Καὶ εἴη ἂν τοῦτο τὸ διάγραμμα τυμβόχωστον μὲν γενόμενον ἐπὶ τοσούτους αἰῶνας, ἡμῖν δὲ σήμερον ἀνασκαφέν, τὸ μόνον ἴσως λείψανον τῆς παναρχαίας ἐκείνης ἀριθμητικῆς ἰδέας ἐφηρμοσμένης εἰς τὰ πυθαγορικὰ περὶ φύσεως θεωρήματα.

ς'. Αἱ τοίνυν τέσσαρες αὗται ἐξισώσεις ἀποδιδοῦσι τὸ $X=72$· ἄρα ὁ 72 ἀριθμός ἐστιν ὁ ζητούμενος, ἐν ᾧ, ὡς προέφημεν, ὁ ἐπίτριτος πυθμὴν $4^3=64$ πεμπάδι συζυγεὶς 5, παρέχεται τὰς δύο ῥηθείσας ἁρμονίας, τρισὶν 3 αὐξηθείς: ἤτοι $64+5+3=72$. ᾧ τινι ἔνεισιν ἅπαντα τὰ ὑπὸ τοῦ Πλάτωνος ἀναγγελλόμενα αἰτήματα, ὡς εὑρισκόμενα ἐν τῷ ἀριθμῷ, ὃν λέγει ἐκφαντικὸν τῆς ἀνθρωπείου περιόδου· ὁ τοσοῦτον ἱερός, ὡς οἴδαμεν, παρὰ τοῖς ἀρχαίοις· ὁ ὧν δι-



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

πλάσιος τοῦ 36, οὗ τὰς ἀρετὰς ἀνωτέρω ἀφηγήθημεν, ὁ παραγόμενος $1 \times 2 \times 36 = 72$, καὶ περιλαμβάνων ἀκριβῶς ἐξ δωδεκαετηρίας ἀστρολογικάς· *ἐν ᾧ πρώτῳ* τῶν ἐν τῇ ἀπείρῳ σειρᾷ τῶν ἀριθμῶν ἅπασαι αἱ καθολικαὶ ἀπαιτούμεναι συζυγίαι τε καὶ συνθῆκαι ἔνεισι· καὶ ἐν ᾧ μόνῳ, αἱ μερικαὶ, ὅτι τὸ τέσσαρά ἐστιν ὁ πυθμὴν, ὁ μόνος τῶν ἀριθμῶν ὁ μεταδιδοὺς τῷ ἡγουμένῳ τὴν ἀπόλυτον ἰδιότητα τοῦ συναπαρτίζειν τετράγωνα ἰσούμενα τῷ τοῦ ἑπομένου $3^2 + 4^2 = 5^2$. Τὸ δὲ τοιοῦτο τρίγωνον, ἀποτελούμενον δηλονότι ἐκ πλευρῶν, ὧν ἡ ἔκφρασις $\sqrt{3^2}$ καὶ $\sqrt{4^2}$ καὶ $\sqrt{5^2}$ χορηγητικὸν ὂν καὶ μέσου ἀναλόγου πρὸς ἑκατέραν τῶν ἀμφὶ τὴν ὀρθὴν πλευρῶν, εἴη ἂν τὸ πρῶτον ὁριστικὸν τῆς ὕλης καὶ τοῦ εἴδους κατά γε τὸ ἴσον καὶ τὸ ἀνάλογον ἢ κατὰ τὸ ῥητὸν καὶ προσήγορον, ἤτοι τῆς μορφῆς ἢ καὶ τοῦ καθ᾽ ἕκαστον ὄντος ὑπὸ μορφὴν, καὶ ἀκολούθως παντὸς πεπερασμένου ἰδεανοῦ ἢ καὶ ὑλικοῦ, ὅταν ἡ τετρακτὺς ὑποληφθῇ συγκεκραμένη. Περὶ τοῦ τοιούτου τριγώνου πλατωνίζων καὶ ὁ Πλούταρχος (περὶ τῶν Ἐκλελοιπ. Χρηστηρίων, περὶ τὰς ἀρχ. τοῦ τελευταίου τρίτου)· «Πρώτη δὲ (ἡ πεντὰς) ἴσον δυναμένη τοῖς παρ᾽ αὐτοῖς δυσὶ τὸ κάλλιστον τῶν ὀρθογωνίων τριγώνων συνίστησι». Διά τε τοῦτο καὶ διὰ τὰ προῤῥηθέντα (§. δ′.) ὁ Σχλειερμάχερος οὐκ ἀκριβῶς λέγει, ὅτι τὸ τρίγωνον αὐτὸ οὐδόλως ἅπτεται τῆς ὑποθέσεως, Ce triangle n'a rien à faire ici (Παρὰ Κουσίνῳ Βιϐ. Η. Πολ. Πλάτ. σημ.). Αἱ τοίνυν ἐν τῷ ἐκτεθέντι διαγράμματι ὁρώμεναι σχετικαὶ αὐξήσεις καὶ μειώσεις ἐμπεριειλημμέναι τῷ ἀριθμῷ, τῷ ἐμφαίνοντι γεωμετρικῶς τὴν περίοδον τῆς ἀνθρωπείου ζωῆς, ἐφαρμοζόμεναι, εἰ δὴ καὶ ἐφαρμόζονται, ὡς ὑποτοπάζει καὶ ὁ Ἀριστοτέλης (Πολ. Ε. 6. §. 1) «λέγων ἴσως οὐ κακῶς» περὶ τῶν ἀποτελεσμάτων, κατὰ τοὺς γενεθλιακοὺς λόγους, εἰς τὰ φαινόμενα τῶν τε ἰδιωμάτων καὶ παθημάτων τῆς περιόδου ἑκάστου θνητοῦ, πολλὰς καὶ ποικίλας ἐμφαίνουσι τὰς διαφορὰς, αἷς ἕπεσθαι ἀναγκάζεται καὶ πᾶν πολίτευμα, ὡς συνιστάμενόν τε καὶ διεξαγόμενον ὑπ᾽ ἀνθρώπων· καὶ καθ᾽ ἃς βελτιοῦσθαί τε καὶ ἀχρειοῦσθαι καὶ ἀλλοιοῦσθαι τὰ πράγματα ἀνάγκη πᾶσα. Ὅπερ καὶ τὸ σκοπούμενον τοῦ λόγου παρὰ τῷ Φιλοσόφῳ.

ζ′. Τὴν λύσιν ταύτην τοῦ πυθαγορικοῦ τούτου προβλήματος,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

μέχρι νῦν γε ἀλύτου, καὶ ἄλυτον διατελέσειν εἰς αἰῶνα τὸν ἅπαντα κριθέντος, καὶ εἰς τὴν τοῦ τετραγωνισμοῦ τοῦ κύκλου κατηγορίαν μονονοὺ παρὰ πάντων ἀναχθέντος, ὁ Πύθιος οὐκ ἄνευ μεγάλης θυσίας ἐχορήγησεν ἡμῖν· καὶ εἰκότως. Εἰ γὰρ ὁ μέγας ἐκεῖνος καὶ ὑψίνους Πυθαγόρας ἑκατὸν ἔθυσε θύματα εὐγνωμοσύνῃ τοῦ εὑρέματος, καίτοι ἄπαστος κρεῶν, πῶς ἡμεῖς μηδαμινοί, ἄλλως τε καὶ κρεωφάγοι, δὸς εἰπεῖν, δεινοὶ ὄντες, οὐκ ἐμέλλομεν θύειν, εἰς σημεῖον μείζονος τῆς ἐκ τοῦ θείου ἀντιλήψεως, καὶ *τρὶς Ἑκατόν*. Διὸ ταύτην τὴν μεγαλοθυσίαν κατ' ὀφειλὴν πεποιήκαμεν. Ἀλλ' ἐρεῖ τις τῶν ἄγαν γλίσχρων πλατωνικῶν — Σύ, φίλε μεγιστοθύτα, ἔθυσας τὰ μηδαμῶς σοι ἀνήκοντα, ἐξελάσας καὶ σφετερισθεὶς αὐτὰ ἐκ τῶν πιόνων νομῶν τῆς Ἀκαδημίας, διὸ καὶ ἀνήκοντα εἰς τὴν Πολιτείαν τοῦ Πλάτωνος, ἐλλείπουσι γὰρ ἐκ τῶν αὐτῆς τρὶς *ἑκατὸν* ἀκριβέστατα, καὶ ταῦθ' ἅμα σὺ εἰσῆλθες τὸ χωρίον, περιῆλθες καὶ ἐξῆλθες. — Ἐγὼ δ' ὅμως διαμαρτύρομαι ὡς συκοφαντούμενος αἰσχροκερδείας (escroquerie)· ἐπὶ Ῥητοῖς γὰρ ἀντικατηλλαξάμην ταῦτα παρ' αὐτοῦ τοῦ Πλάτωνος, ὃς ὁρκωθείς μοι τὸν Πυθμένα (οὗτος γὰρ μέγιστον ὅρκιον τοῖς περὶ τὸν Πλάτωνα), ἔλεγε μὴ εἰδέναι, τίς τῶν δολίων Πλατωνικῶν σφετερισθεὶς τὰ Ῥητὰ τῆς Ἀκαδημίας, ἀφιέρωσε δῆθεν αὐτά, ὡς μὴ ὤφειλεν, εἰς αὐτήν, τοσοῦτον ὀχληρὰ ἤδη γενόμενα, ὥστε σφηκῶν δίκην ἀπρόσιτον τὸ χωρίον κατέστησαν, ἀτίθασσα φαινόμενα εἰς πάντας τοὺς Ἀκαδημαϊκούς· διὸ ἥδισ' ἂν ἐπὶ Ῥητοῖς ἀντικαταλλάξαιτο· τούτων γὰρ χρῄζειν ἔλεγε χαὐτόν τε καὶ τοὺς περὶ αὐτόν· καί με ἐβεβαίου, ὅτι ἅπαντες οἱ Ἀκαδημαϊκοὶ τὴν αὐτὴν ἔχουσι γνώμην· διὸ καὶ ἔσομαι διὰ παντὸς ἀνεπηρέαστος καὶ ἀκαταζήτητος περὶ τῆς ληψοδοσίας ταύτης. Διαμαρτυρόμενος οὖν ἀναφέρομαι εἰς τοὺς ὑπ' αὐτοῦ τοῦ Πλάτωνος κατασταθέντας φιλοδικαίους κριτάς, ὡς μὴ ἀδικήσας τὸν Πλάτωνα καὶ τὴν Ἀκαδημίαν, κατὰ τὴν εἰς χεῖράς μου ἐπίσημον ἔνδειξιν. Καὶ γὰρ πρὶν ἢ ἐξῆλθον τῶν ὁρίων τῆς Ἀκαδημίας, ἐθεώρησα μετ' αὐτοῦ κατὰ τὰς Ῥητὰς ἡμῖν συνθήκας, καθαρὸν καὶ ἀκριβῆ λογισμόν, ὃν καὶ ταπεινῶς παρουσιάζω τὴν σήμερον ἐνταυθὶ ἐνώπιον τοῦ Δικαστηρίου, ἐν ᾧ ὁρᾷ ἕκαστος, καθεζόμενος κριτὴς καὶ λογιστὴς δίκαιος, « εἰ μὴ ἀγνοήσαντες οἱ φύλακες » κτλ. κατὰ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τὸν Πλάτωνα, ὅτι εὑρέθημεν πάντῃ πάντως ἐξισωμένοι τε καὶ ἐξεληλεγμένοι, ὥς φησι καὶ ὁ Δημοσθένης. Ἄλλως τε πέποιθα μηδένα εἶναι τῶν περὶ τὸν Πλάτωνα σοφῶν σχολιαστῶν καὶ μεταφραστῶν τοσοῦτο γλίσχρον, ἄν τινα « θυγάτηρ Διὸς εὐώπα πέμψῃ —Ἀλκὰν» κατὰ τοῦ σαρκασμοῦ, διὰ τὸ δυσξύμβλητον τῆς περιοχῆς ταύτης, τῶν μυκτηριζόντων πᾶσαν τὴν Ἀκαδημίαν ἅμα τῷ Περιπάτῳ, ὃς μὴ θελήσῃ ἀπό γε τοῦ νῦν, ἵνα, οὐ μόνον τὰ τρὶς *Ἑκατὸν* τὰ ἐκ τῶν νομῶν τῆς πολιτείας τοῦ Πλάτωνος, ἀλλὰ καὶ τὰς οἰκείας *Ἑκατοντάδας* φιλοτίμως χορηγήσῃ μοι εἰς θυσίαν (α). Σκόπει δὲ καὶ οὕτως· ἡλίκη ἀδικία εἰς ἐμὲ, εἴπως οἱ μὲν πάλαι, καὶ μίαν μόνην σφίγγα ἀνελόντες, βασιλεῖς ἀνηγορεύοντο, ἐγὼ δὲ τρὶς Ἑκατὸν, ἅς τινας, οὐχ ὡς εἶπεν ὁ ποιητὴς «κένανδρον μέγ᾽ ἄστυ», ἀλλὰ καὶ παντάπασι πᾶσαν τὴν ἁπασῶν εὐνομωτάτην Πολιτείαν ἐπὶ τοσούτους αἰῶνας ἀοίκητον ἀποφαινούσας, ἐνὶ Ῥητῷ ἀνελὼν, « γνώμῃ κυρήσας κἀγηλατήσας », κρίνομαι τὸν σήμερον σφετερισμοῦ. Ἀλλ᾽ ἅλις ἀστειολογίας.

ή. Δοκεῖ ὅτι οἱ ἀρχαῖοι μαθηματικοὶ συνέκοπτον πολλὰς τεχνικὰς λέξεις χάριν συντομίας, ὡς συμβαίνει εἰς ἁπάσας τὰς ἐπιστήμας, ἐν οἷς καὶ τὸ Ρ. διὰ δασέος, σημαίνοντες τὰ Ῥητὰ τῆς μαθηματικῆς γλώσσης, οὕτω καὶ ἡμεῖς τὴν σήμερον τὰς Ῥίζας δι᾽ ἁπλοῦ Λατινικοῦ ρ. r ἢ √ ἐκφαίνομεν. Ἀλλὰ καὶ τὸν Λόγον

(α) J' ai retranché ici, faute d'y pouvoir trouver un sens qui me satisfasse, la phrase célèbre sur les conditions de ce nombre géometrique. « Ἐνταυθὶ χήτει νοήματος πιθανοῦ ἐξωβέλισα τὴν περὶ τοῦ γεωμετρικοῦ ἀριθμοῦ πολύκροτον ἐκείνην καὶ περικλεῆ φράσιν ». Ὁ σοφὸς Κουσῖνος πρῶτος ἁπάντων, ὡς ὁρᾶται, ἀξίως τῆς ἑαυτοῦ σοφίας ἐπανέσεισε τὸν ὀβελὸν κατὰ πάσης τῆς ἀκατανοήτου περικοπῆς, οὕτως ἔγγιστα τῆς ἀληθείας γενόμενος. Εἴπερ γὰρ καὶ ἡ Κριτικὴ τέχνη εἶχε θεόν τινα ἐπιστάτην, ὥσπερ αἱ λοιπαὶ τῶν τεχνῶν, ὅςτις διευθύνειε αὐτῷ τὸν ὀβελὸν, ὡς εἰς τοὺς μακαρίους χρόνους τοῦ Ὁμήρου, οὐ κατὰ πάσης τῆς περιόδου, ἀλλὰ μόνον κατὰ τῶν σφιγγῶν, αἱ δὲ λοιπαὶ τῶν λέξεων ἠλεύοντο, πάλαι ἂν εἶχε λαβὼν τὰ νικητήρια· ἀλλὰ νῦν δοκεῖ, ὅτι οὐδεὶς τῶν θεῶν ἄσμενος προστατεύει τὴν περίεργον ταύτην καὶ κωτίλην τέχνην, πολυπραγμονοῦσαν πάντα θεῖά τε καὶ ἀνθρώπεια, καὶ δὴ καὶ ὡς οὐ δίκῃ λαμβάνουσιν οἱ ἀκαδημαϊκοὶ ἐν τῷ κειμένῳ τὰς τρὶς Ἑκατὸν (λέξεις)· καί· τί ἕκαστος κατάκλειστος ἐν τῷ οἰκείῳ σπουδαστηρίῳ διαπείρων ἐνασχολεῖται τῷ ὀβελῷ: καί· ὡς ταύτην (τὴν λέξιν) ὤφειλε διαπεῖραι μᾶλλον ἢ κείνην, καὶ τῷ τοιῷδε ἤθει αὐτῆς ὀχληρὰν καὶ ἀπεχθῆ θεοῖς τε καὶ ἀνθρώποις ἀποβαίνουσαν, ὡς παντί που πρόδηλον.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

διὰ τοῦ Λ μόνον ἔφαινον, ὅθεν ἔμεινε τοὺς ἀνίσους λόγους σημειοῦσθαι τῷ πλαγίῳ, Λ ἢ ⊳, ὃ δὴ μετηνέχθη καὶ εἰς τὴν συγγενῆ μουσικὴν τῶν ἀρχαίων. Τυχὸν δὲ καὶ ὁ Πλάτων ἔθει τῷ *ἑωυτοῦ* μὴ ἐνδιδόντος τοῦ ἑλληνισμοῦ εἰπεῖν ἰσάκις, *Ῥητάκις*, τοσαυτάκις, ἐσημειώσατο μόνον τὸ Ῥ. ἐν τῇ καθ᾽ ὑποβολὴν τοίνυν ἀμαθοῦς τινος μεταγραφῇ τῶν Πλάτωνος ἀρχαίων κωδήκων ὑπὸ ἀμαθεστέρου γραφέως, ἢ παραδρομῇ, ἢ ἀποτρίψει τῶν διακριτικῶν ῾ καὶ ´, τὸ Ῥ. ὡς Ρ´. ἀπήγγελται *Ἑκατὸν*, καὶ δὴ καὶ ἐγράφη ὅλοις καὶ στρογγύλοις τοῖς γράμμασιν *ἑκατόν*. Ὅθεν τὸ αἰωνίως ἡμῖν ἄλυτον πρόβλημα, καὶ εἰς ὅπερ δι᾽ αἰώνων τηνάλλως καταγινόμενοι πάσῃ τῇ σπουδῇ οἱ σοφοὶ, καταγελῶνται ὡς ἀνόητοι μᾶλλον οἱ τῇ ἰδίᾳ σοφίᾳ πειθόμενοι, ἀνόητα γεγραφότα τὸν Πλάτωνα εἰπόντες (α), ἢ ἀπέτυχον οἱ μετριοφρόνως τε καὶ ἀληθῶς τὴν ἰδίαν ἧτταν ὁμολογήσαντες, ὧν ἕνα θαυμάζω καὶ τὸν Γάλλον Κουσῖνον. Πάμπολλοι γὰρ καὶ τῶν οὐ μετρίων, καὶ ἐν ταῖς ἐκδόσεσι τῶν συγγραμμάτων ἀμφοτέρων τῶν φιλοσόφων Πλάτωνός φημι καὶ Ἀριστοτέλους, καὶ δὴ καὶ ἐν ἰδιογραφίαις γενναίως μὲν ἠγωνίσθησαν, οὐδεὶς δὲ ἐκομίσατο τὴν ἐπαγγελίαν τῆς ἀθλοφορίας· φιλαλήθεις γὰρ ὄντες ἐν τῷ τέλει τοῦ ἀγῶνος αὐτῶν ὡμολόγησαν ἐν συνειδήσει, ὅτι οὐκ ἦσαν ἄξιοι τοῦ στεφάνου. Τούτων μικρὸν μὲν, ἀλλ᾽ ἐξόχων ἀνδρῶν ἀριθμὸν ἐγκαταλέγει ὁ μνημονευθεὶς ἀξιέπαινος Κουσῖνος, καὶ αὐτὸς ὢν εἷς ἐξ αὐτῶν: Βαρώκιόν (Barocium) τινα ἐκδόντα διατριβὴν ἐν Βονωνίᾳ τῷ 1566, καὶ Σχνείδερον (Schneider) ἐκεῖνον τὸν ἐκ Βρεσλαύης ἐκδόντα δύο διατριβὰς De Numero Platonis (Περὶ τοῦ Πλατωνικοῦ ἀριθμοῦ) 1821 εἰς 4ον καὶ 1831. Φρίεσον (Fries) τὸν διδάσκαλον τῆς τε Φιλοσοφίας καὶ Μαθηματικῆς ἐν τῷ Πανεπιστημείῳ τῆς Ἰένης. Platon's Zahl, Eine Vermuthung (Εἰκασία περὶ τοῦ Πλατωνικοῦ ἀριθμοῦ.) ἐν Εἰδελβέργῃ

(α) Ἐνταῦθα μετὰ λύπης μνημονεύσω καὶ τῆς τοῦ ἡμετέρου κριτικοῦ Κοραῆ περιοπτικῆς ἐκφράσεως κατὰ τῆς τῶν ἀρχαίων σοφίας, οἷς ἐγκαυχώμενος διετέλει ὡς ἀπόγονος. Ἐκδοὺς γὰρ τὰ πολιτικὰ τοῦ Ἀριστοτέλους, οὕτω σημειοῖ. (Βιβ. Ε. Ι. §. 1.) «Ἐπελθέτω ὁ βουλόμενος τὴν μακρὰν καὶ σοφὴν σημείωσιν τοῦ Σχνεϊδέρου, ἄκοντος κἀκείνου τὰς εἰς μηδὲν χρήσιμον πλατωνικὰς ταύτας θεωρίας ἀ ξ ι ώ σ α ν τ ο ς ἐρεύνης»· εὖγε οὖν τῆς κομψότητος τοῦ κριτικοῦ ἕλληνος, τοῦ μ η δ᾽ ἐ ρ ε ύ ν η ς ἀ ξ ι ώ σ α ν τ ο ς τὰς θεωρίας ταύτας, ἅσπερ οἱ ξένοι σοφοὶ οὕτω φιλοπόνως ἠρεύνησαν!

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

1823 εἰς 4ον · καὶ τέλος τὸν Σχλειερμάχερον (Schleiermacher)· ὅστις, κατὰ τὸ λέγειν τοῦ Κουσίνου, εὐθὺς προοιμιαζόμενος κηρύσσει διαπρυσίως ά. ὅτι ἀδύνατός ἐστιν εἰς ὀντιναοῦν ἡ τοῦ χωρίου τούτου κατάληψις· ϐ΄. ὅτι ἡ ἐλπὶς τοῦ εἴτε οἰκείᾳ τῇ μελέτῃ, εἴτε καὶ τῇ συνδρομῇ πολλῶν ἄλλων σπουδαίων ἀνδρῶν νοῆσαι εἰς τέλος αὐτὸ, νῦν μὲν ἀναγεννωμένη, νῦν δὲ αὔη καὶ ἐξίτηλος ὀλλυμένη, καὶ ὡς καπνὸς ἢ σκιὰ τῇ περιδράξει ἀϊστωμένη, ἐπέσχεν ὡς ἐχενηῒς ἐπὶ δώδεκα ἐτῶν περιόδους τὴν τῆς ὑπ᾽ αὐτοῦ τῶν Πλατωνικῶν συγγραμμάτων μεταφράσεως ἔκδοσιν· καὶ τελευταῖον, ὅτι ἡ βοήθεια, ἣν προσεδόκει ἔκ τε τῶν σοφῶν συγγραμμάτων, καὶ ἐκ τῆς ἀμέσου τῶν σοφῶν ἀντιλήψεως, μεματαίωται. Ἐπισφραγίζει δὲ τὴν ἐκτεταμένην αὐτοῦ σημείωσιν (ἧς μόνον ἀπόσπασμα ἐκδοὺς ὁ προεπαινεθεὶς Κουσῖνος εἰς τέσσαρας καὶ δέκα ὅλας σελίδας προήνεγκεν) οὕτως. Ainsi que ce problème demeure encore réservé à la bonne fortune de quelqu'autre, pour moi je ne puis le considérer comme résolu par les travaux tentés jusqu'ici; et je me trouverais heureux, si les soupçons que je viens d' ennocer donnent lieu à quelque nouvelle tentative de la part d' un connaisseur. «Οὕτω τοίνυν τὸ πρόβλημα τοῦτο διατελεῖ εἰσέτι ἀποτεθησαυρισμένον ἐπὶ τῇ ἑτέρου τινὸς ἀγαθῇ τύχῃ· ἐγὼ γὰρ οὐκ ἂν εἴποιμι λελυμένον, ἔκ γε τῶν μέχρι τοῦδε ἀγώνων· καὶ εὐδαίμων λογισθήσομαι, ἤν πως αἱ πρὸς ἐμοῦ ἐξαγγελθεῖσαι ὑποψίαι προτρέψωσί τινα τῶν εἰδημόνων εἰς νέας ἐπιχειρήσεις τε καὶ πείρας.» Ἰδοὺ ὁ σοφὸς ἀνὴρ τίνι τρόπῳ ἐκφράζεται. Ἀλλὰ καὶ ὁ σεμνὸς Κουσῖνος οὐχ ἧττον. De ce passage (en parlant du passage d'Aristote) bien ou mal entendu, il résulte certainement I.° Qu' Aristote prenait au sérieux cet endroit de Platon. 2.° Qu'il croyait le comprendre, puisqu'il se résume pour le critiquer, et convient même qu' il contienne quelque chose de vrai. Or si Aristote a trouvé cet endroit intelligible, c' est qu' il l'est incontestablement; ceci est un point, qu'il n'est pas sans importance d'établir contre l'opinion de ceux, qui pensent se tirer d'affaire, en affirmant qu'il y a là quelque extravagance mystique, et que Platon ne se

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

comprenait pas lui-même. Je déclare humblement que cette manière d'interprêter les passages difficiles des grands penseurs de l'Antiquité est au dessus de ma portée, et je demeure très-convaincu, qu'une phrase écrite par Platon et commentée par Aristote est fort intelligible en elle-même, lors même qu'elle ne le serait plus pour nous. « Ἐκ ταύτης τῆς περικοπῆς (τῆς τοῦ Ἀριστοτέλους δηλονότι Πολ. Ε. ι. §. 1) εὖ τε καὶ μὴ, νοουμένης συμπεραίνομεν δύο τινά· τὸ μὲν ὅτι ὁ Ἀριστοτέλης ἐξελάμβανε σπουδαίως, τὸ δ' ὅτι ἐδόκει καθ' ἑαυτὸν νοεῖν τὸ περὶ οὗ ὁ λόγος χωρίον τοῦ Πλάτωνος· καὶ κρίνειν γὰρ αὐτὸ ἀναβάλλεται, καὶ περιέχειν ἀληθές τι πιστεύων φαίνεται. Εἰ δ' Ἀριστοτέλης εὗρε τὸ χωρίον εὔληπτον, ἔστιν ἄρα καὶ τοιοῦτον ἀναντιῤῥήτως. Συμβάλλει δὲ πολὺ ἡ τήρησις αὕτη κατὰ τῶν οἰομένων ἱκανῶς ἀπολύεσθαι τοῦ ἔργου, διαβεβαιουμένων τὴν περικοπὴν εἶναι παραδοξολογίαν τινα μυστικὴν, ἣν οὐδ' ὁ Πλάτων αὐτὸς εἶχε συνιέναι. Ἐγὼ μέντοι διαμαρτύρομαι ταπεινῶς, τὸν τοιόνδε τρόπον τοῦ ἑρμηνεύειν τὰ τῶν ἀρχαίων ἐκείνων βαθυνόων ἀνδρῶν δεινὰ χωρία ὑπὲρ τὴν ἐμὴν εἶναι κατάληψιν, πεποιθότος ἀδιστάκτως, ὅτι φράσις τις, γραφεῖσα μὲν ὑπὸ τοῦ Πλάτωνος, σχολιασθεῖσα δὲ ὑπὸ τοῦ Ἀριστοτέλους, καὶ μάλα καταληπτή ἐστι καθ' ἑαυτὴν κἂν ἡμεῖς μηκέτι νοῶμεν αὐτήν.»

θ'. Ἀλλὰ τί ῥητέον καὶ περὶ τοῦ τρίτου εἴδους τῶν ἀνθρώπων ἐκείνων τῶν κατεχόντων μὲν ἀνὰ χεῖρας ἀκριβῆ λογισμὸν τῶν *τρὶς Ἑκατὸν* τοῦ πλατωνικοῦ κειμένου, καυχωμένων δὲ νοεῖν ἀκριβῶς καὶ τὸν Πλάτωνα;

ι. Καὶ ταῦτα μὲν περὶ τοῦ Διαγράμματος, οὗ ἡ διατύπωσις, πῶς μὲν ἐφαρμόζεται εἰς τὴν ἀνθρωπίνην ζωὴν, ἡλίκην δ' ἔχειν δύναται ἰσχὺν, κατά γε τοὺς ἀποτελεσματικοὺς λόγους, οὔτε τοῦ παρόντος πονήματος, οὐθ' ἡμέτερον τὸ ἐρευνᾶν. Ὅτι δὲ ἡ ἀνθρωπίνη ζωὴ παρὰ τοῖς ἀρχαίοις οὐ πολλῷ πλέον τῶν δύο καὶ ἑβδομήκοντα ἐτῶν (ἤτοι ἔνδον τῆς ΙΑ ἑπταετηρίδος) ἐμετρᾶτο ἔχομεν τὸ προφητόφθεγκτον (ψ. ΠΘ') « Αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, » ὅπου σημειοῖ ὁ μακάριος Θεοδώρητος· « εἰσὶ μενοῦν, οἳ καὶ πλείονα τοῦ εἰρημένου διαβιοῦσι χρόνον, ἀλλ' ἐκεῖνο

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐπ᾽ ὀλίγον συμβαίνει, τὸ δὲ κοινὸν καὶ ὡς ἐπὶ πλεῖστον κρατοῦν ἐνταῦθα διδάσκει· » καὶ τὸ τοῦ Σόλωνος ἐκ τῶν θύραθεν.

Τῇ δεκάτῃ (ἑβδομάδι) δ᾽ ὅτε δὴ τελέσει θεὸς ἑπτ᾽ ἐνιαυτούς,
Οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

Ἀλλὰ καὶ ὁ περίπυστος ποιητὴς Ἰταλὸς Δάντης ἐν τῇ ἀρχῇ τοῦ ἐπιγραφομένου αὐτῷ Ὁ Ἅϊδης ποιήματος οὕτως ἔψηλε.

Nel mezzo del cammin di nostra vita.

ὅπου ὁ σχολιαστὴς αὐτοῦ Ἀλέξανδρος Οὐελουτέλλος σημειοῖ. Sarà adunque il mezzo del cammin di nostra vita a XXXV anni, essendo tutto il commun corso come habbiamo veduto a LXX; « ἔσται οὖν τὸ ἥμισυ τῆς ἡμετέρας ζωῆς στάδιον εἰς 35 ἐνιαυτούς· τὸ γὰρ πρόπαν κοινὸν στάδιον καθὰ ἑωράκαμεν ἑβδομηκονταετές ἐστι. » Ἔτι δὲ καὶ ὁ Κλαύδιος Πτολεμαῖος (τετραβ. Σύνταξ. βιβ. γ΄. Περὶ Χρόν. Ζωῆς) εἰς Ο΄. ἀνάγει τοὺς ἀστρολογικοὺς λογισμούς. Τὸ δὲ ἐπεκτείνειν τὴν περὶ τούτου ἔραυνάν τε καὶ πίστωσιν παράγει ἡμᾶς εἰς τὰ ξένα ὅρια τῆς Ἀνθρωπολογίας ἢ Φυσιολογίας. Εἰ δέ τις ἀγόμενος ἐκ τῶν παρὰ Πλάτωνι ἐπαγομένων « νυμφίου » κτλ. εἴποι τὸν ἀριθμὸν τοῦ προβλήματος περιέχειν μὴ τὸν ὅρον τῆς ζωῆς, ἀλλὰ τὸν τῆς γεννήσεως, οὐ λωβᾶται τὸ πρόβλημα, καὐτὸν γὰρ ὁ Ἀριστοτέλης (Πολ. Ζ. ιδ΄.) εἰς ἑβδομήκοντα ὁρίζει. « Ἐπεὶ γὰρ ὥρισται τέλος τῆς γεννήσεως ὡς ἐπὶ τὸ πλεῖστον εἰπεῖν ἀνδράσι μὲν ὁ τῶν ἑβδομήκοντα ἐτῶν ἀριθμός. »

ιά. Τὰ δ᾽ ἐν τῷ τέλει τῆς περικοπῆς οὕτως ἀναγινώσκω· « ξύμπας δὲ οὗτος ἀριθμὸς (*) γεωμετρικὸς, κύριος ἀμεινόνων τε καὶ χειρόνων γεννήσεων. » Τὸ δ᾽ ἐγκείμενον *τοιούτου* λέγω, ὅτι εἰσεπήδησεν ἐκ τοῦ περισελιδίου διαγράμματος, οὕτως ἐπιγραφομένου, εἰ δὴ καὶ ἐπεγέγραπτο κατὰ γενικὴν πτῶσιν, τοιούτου (ἀριθμοῦ δηλονότι ἢ διαγράμματος). Ὅτι γὰρ ἐν τοῖς συγγράμμασι τοῦ Πλάτωνος παρέκειτο καὶ τὸ ἀνωτέρω διάγραμμα πρόδηλον, οἶμαι, γίγνεται καὶ ἐκ τῶν λόγων τοῦ Ἀριστοτέλους « ὅταν ὁ τοῦ Διαγράμματος ἀριθμὸς *τούτου* γένηται στερεός· » ὅθεν φαίνεται ὅτι ἐν τοῖς συγγράμμασι τοῦ φιλοσόφου προὔκειτο ὑπ᾽ ὄψιν τὸ διάγραμμα, οὗ ὁ τόπο ἦν ἂν ἐν τοῖς Πλατωνικοῖς, ὅπου τέθειται ἡμῖν ὁ ἀστερίσκος,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

εἰκάζουσιν ἐκ τοῦ Ἀριστοτελικοῦ « ὁ ἀριθμὸς τούτου τοῦ διαγράμματος ».

§. 45. Τὸ τοίνυν τετραγράμματον ἦν πολλαχῶς ἐγνωσμένον ὑπὸ διάφορα ὀνόματα ἐν τῇ Ἑλλάδι ἀρχῆθεν, ἤτοι: καὶ θρησκευτικῶς καὶ φιλοσοφικῶς καὶ συμβολικῶς κτλ. ἀλλ' ἐν τῇ ἤδη ἀκμαζούσῃ εἰς φιλοσοφίαν καὶ παιδείαν Ἑλλάδι ἐπίσημον μάλιστα ἐγένετο ὑπὸ τὸ ὄνομα τὸ ΤΙΗΝΕΙΝΑΙ, ὄνομα παντάπασι μὲν ἄγνωστον εἰς τὰς σχολάς, πολλὰ δὲ πράγματα παρασχὸν εἰς τοὺς ἀρχαίους τε καὶ νεωτέρους ἡμετέρους τε ἅμα καὶ ἀλλοδαποὺς σχολιαστάς, μηδ' αὐτοῦ τοῦ ἡμετέρου σοφοῦ κριτικοῦ Κοραῆ ἐξαιρουμένου. Τὴν χρῆσιν τῆς λέξεως ταύτης ΤΙΗΝΕΙΝΑΙ δοκεῖ πρῶτος εἰσαγαγεῖν ἐν τῇ Φιλοσοφίᾳ ὁ Δημόκριτος, καθὰ σημειοῖ αὐτὸς ὁ Ἀριστοτέλης (Μεταφ. Ζ. Α. ά). « Αἴτιον δὲ τοῦ μὴ ἐλθεῖν τοὺς προγενεστέρους ἐπὶ τὸν τρόπον τοῦτον, ὅτι τὸ ΤΙΗΝΕΙΝΑΙ καὶ τὸ ὁρίσασθαι τὴν οὐσίαν, οὐκ ἦν· ἀλλ' ἥψατο μὲν Δημόκριτος πρῶτος, ὡς τῆς ἀναγκαίου δὲ τῇ φυσικῇ θεωρίᾳ, ἀλλ' ἐκφερόμενος ὑπ' αὐτοῦ τοῦ πράγματος ». Ἀλλ' ἀκούσωμεν τοῦ προειρημένου κριτικοῦ τὴν γνώμην πρῶτον, καίτοι οὖσαν σχεδὸν ἀσήμαντον (Ἑλλην. Βιβλ. τόμ. ΙΑ. Ἀριστοτέλους Ἠθικὰ Νικομάχεια 1822. σελ. 228-29) «60. Τὸν λόγον τὸν ΤΟ *τί ἦν εἶναι* λέγοντα) Ἡμετέρα διόρθωσις ἡ προσθήκη τοῦ τρίτου ἄρθρου· ἔστι γὰρ ἡ συνάρτησις· τὸν λόγον τὸν λέγοντα ΤΟ *τί ἦν εἶναι*: τουτέστι τὸν ὁρισμὸν τὸν δηλοῦντα τὴν οὐσίαν τοῦ πράγματος, ὥσπερ ἂν εἰ καὶ ἔλεγε τὸν λόγον τοῦ *τί ἦν εἶναι*. Καθ' αὑτὸ γὰρ τὸ ΤΙΗΝΕΙΝΑΙ οἷον ἕν ἐστιν ὄνομα ἄκλιτον σημαῖνον τὴν οὐσίαν, ἢ τὸ εἶδος τοῦ πράγματος, ὅπερ οἱ νεώτεροι σχολαστικοὶ διὰ τοῦ quiditas (ὡς ἂν εἴποιμεν ἑλληνιστὶ ΤΙΟΤΗΣ ἡμετ. σημ.) ἑρμηνεύειν φιλοῦσι· καὶ ἀπαιτεῖ πάντως ἄρθρον, ἡνίκα ὁριστικῶς λέγεται. Πολὺ δὲ τοῦτο παρὰ τῷ Ἀριστοτέλει, καὶ μάλιστα ἐν τοῖς Μεταφυσικοῖς· οἷον «Ἔστι δὲ ὅρος, λόγος τὸ Τί ἦν εἶναι σημαίνων (Τοπ. Α. δ.)· καὶ πάλιν· « ἔστιν ὁρισμὸς τοῦ τί ἦν εἶναι λόγος, καὶ· τὸ τί ἦν εἶναι ἢ μόνον τῶν οὐσιῶν ἐστιν, ἢ μάλιστα καὶ ἁπλῶς καὶ πρώτως . . . καὶ τὸ τί ἦν εἶναι λέγεται ἡ ἑκάστου οὐσία » καὶ προϊὼν κατὰ πληθυντικὸν ἀριθμὸν «Ὁμοίως δὲ πάντα ἐστὶν ἢ οὐδὲν τὰ τί ἦν εἶναι» (Μετ. ς'. 5. καὶ 6.) τουτέστιν αἱ οὐσίαι καὶ τὰ εἴδη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Καὶ ταῦτα μὲν δῆλα· τὸ δὲ τῆς συντάξεως τοῦ πολυθρυλλήτου τοῦδε τί ἦν εἶναι ἀκατάλληλον, ἀκαταλληλοτέρᾳ (ἔμοι γε δοκεῖν) ἑρμηνείᾳ ἐξηγήσασθαι ἐπεβάλετο Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς (εἰς τὰ Τοπ. Α. σελ. 24) λέγων, «Τοῦτο δὲ τὸ τί ἦν εἶναι ὡς ὀνοματικὸν μὲν συλλαβῶν ἐξενήνοχε, σημαίνει δὲ ὁ τὸ τί ἐστι τὸ εἶναι σημαίνων τῷ ὁριστῷ, τουτέστι, λόγος ἐστὶ δηλωτικὸς τοῦ τίποτέ ἐστι τὸ εἶναι ἐκείνῳ, οὗ ἐστιν ὅρος· τῷ γὰρ ΗΝ οὐχ ὡς τοῦ παρελθόντος χρόνου δηλωτικῷ κέχρηται νῦν, ἀλλ᾽ ἀντὶ τοῦ ἐστι». Καὶ ταῦτα μὲν ὁ τοῦ Ἀριστοτέλους ὑπομνηματιστής· ἐξ οὗ παραλαβόντες οἱ λεξικογράφοι ἀπὸ τοῦ Βουδαίου μέχρι τοῦ Σχνεϊδέρου ἐπεκύρωσαν τὴν ἐξήγησιν. Ἔστι μὲν οὖν πρόχειρον τὸ αἰτιάσασθαι τοὺς ἀντιγραφέας, ὡς κακῶς τὸν παρατατικὸν τοῦ ὑπαρκτικοῦ παρεμβαλόντας καὶ κακῶς τονίσαντας τὸ *τί*, δέον γράφειν τὸ *τὶ εἶναι* βαρυτόνως, ἢ *τό τι εἶναι* ἐγκλιτικῶς· ἀλλ᾽ ἐπεὶ τὸ *τί ἦν εἶναι* ἐν πλείστοις ὅσοις τοῦ φιλοσόφου συγγράμμασιν ἐγκατέσπαρται, μηδαμοῦ διαφωνούσης τῆς γραφῆς, λείπεται ἀπορεῖν μετὰ τοῦ Ἐμπειρικοῦ Σέξτου (Πρὸς Μαθημ. 315) «πῶς ἴσασιν ἐνίας τῶν ἐπιστημονικῶν λέξεων οἱ γραμματικοί, καθάπερ τὴν παρὰ Ἀριστοτέλει ἐντελέχειαν, ἢ τὸ ΤΙ ΗΝ ΕΙΝΑΙ». Καὶ ταῦτα μὲν ὁ Κοραῆς. Ἡμεῖς οὖν ἀφέντες ἀνὰ μέρος τὸν ὑπομνηματιστὴν Ἀλέξανδρον καὶ τὰς ἑρμηνείας αὐτοῦ, ἴδωμεν τὴν γνώμην τοῦ ῥηθέντος κριτικοῦ. Ὃς πρῶτον μὲν ἐξ ἐπιβολῆς αἰτιᾶται τοὺς μεταγραφεῖς, ὡς ἐπταισμένως γράψαντας, μὴ εὑρίσκων δηλονότι σημασίαν εἰς τό, ***Τί ἦν εἶναι***, καὶ διορθούμενος εἰς τό *τι εἶναι*· εἶτα πάλιν αἰδούμενος τὸ διηνεκὲς τῆς τοιᾶσδε ἐκφράσεως ἐν τοῖς τοῦ Φιλοσόφου συγγράμμασι, καταγελᾷ, μετὰ τοῦ Σκεπτικοῦ καὶ σκωπτικοῦ Σέξτου, τῶν γραμματικῶν ὡς μὴ εἰδότων μήτε τί ἐστιν *ἐνδελέχεια*, μήτε τί ἐστι τὸ *Τί ἦν εἶναι*. Ὁ ὑπὸ τοῦ Σέξτου τωθασμὸς κατὰ τῶν γραμματικῶν ἔχων βάσιν τὸ τὴν ἔκφρασιν ταύτην διατεθρυλλεῖσθαι ἐν ἁπάσαις ταῖς μεταφυσικαῖς σχολαῖς, ὡς τὴν σήμερον τὸ *Ὑποκείμενον* καὶ *Ἀντικείμενον*, τὸ Ἐγὼ καὶ τὸ Οὐκ Ἐγὼ κτλ. ὤφελε πάντως ἀναδεῖξαι καὶ εἰς αὐτὸν τὸν Κοραῆν οὐ μόνον τὸ περιττόν, ἀλλὰ καὶ τὸ ἄλογον τῆς διορθώσεως αὐτοῦ· τί γαρ μὴ ἐπεχείρει διορθοῦν καὶ τὴν Ἐνδελέχειαν καὶ τὰ εἴδη ὡς μεταγραφέων λάθη. Τὸ γὰρ περὶ τοῦ ΤΙ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΗΝΕΙΝΑΙ ἀμφιβάλλειν ἴσον καὶ τῷ μηδὲν ἔχειν βέβαιον περὶ τοῦ, Ἐνδελέχεια, καὶ Ἰδέα, καὶ Εἶδος, καὶ Ὕλη, καὶ εἴτι ἀδελφόν. Ἰδοὺ ἡ ἀληθὴς ἑρμηνεία, δι' ἧς καὶ τὸ ἀκατάλληλον, ὡς λέγει, τῆς συντάξεως ἄρδην αἴρεται, καὶ ἡ κυρία αὐτοῦ σημασία γνωρίζεται.

§. 46. Τὸ ΗΝΕΙΝΑΙ μίμημά ἐστι (πιθανῶς ὑπὸ τῶν Πυθαγορικῶν) τοῦ Ἑβραϊκοῦ יהוה σημαίνοντος διηνέκειαν τῆς ὀντότητος καὶ ὑπάρξεως ἁπλῶς κατά τε τὸ παρῳχηκὸς, τὸ ἐνεστὸς καὶ μέλλον, ὅπερ

εὐκόλως ἂν καταλάβοις, ἐὰν ἡ λέξις γραφῇ οὕτω ה (י / ו) ה· ἐξ ὧν γραμμάτων τὰ τρία τὰ ὕπερθεν ποιοῦσι הָיָה ΗΝ, τὰ τρία κάτω הוה ΕΣΤΙ, καὶ τὸ ὕπερθεν συλλαβιζόμενον δεξιόθεν καὶ ἀριστερόθεν יִהְיֶה ΕΣΤΑΙ (§. 26.). Ἡ δὲ σημασία τοῦ ΗΝΕΙΝΑΙ καταλληλοτάτη· ἔστι γὰρ ὡς ἂν ἐλέγομεν κοινῶς *ἦτον διὰ νὰ ἦναι ἢ ἐπὶ τὸ εἶναι*, ὅ ἐστιν οὐκ ἐνεδέχετο ἄλλως γενέσθαι ἢ εἶναι· ἔχει δ' ἀκριβῶς καὶ ἑπτὰ φθόγγους ΗΝΕΙΝΑΙ, ὥστ' εἶναι καὶ *ἑπταγράμματον* (§. 28). Ἐπειδὴ μέντοι ἐν τῷ Ἑβραϊκῷ ποιεῖ κύριον ὄνομα, ὡς ἔφημεν (§. 26.), τεχνικὸν, ἐν δὲ τῷ Ἑλληνικῷ ἐστι σύνταξις δύο ῥημάτων, προτίθεται τὸ ΤΙ, ὅπως συνάπτον αὐτὰ εἰς ἓν ποιῇ, ὡς κατηγορούμενόν τι ἐπὶ τὸ ΤΙ καὶ ἐμφαίνει τὸ σύμπαν ὄνομα κύριον ΤΙΗΝΕΙΝΑΙ. Οὐδὲ πρέπον συναφθῆναι τὸ ἀναφορικὸν ἄρθρον, ὡς λέγει, ὅ,τι *ΗΝ ΕΙΝΑΙ*, ὅπως μὴ ὑπονοηθῇ ἡ ὕπαρξις ἡ ἐν τοῖς ῥήμασι κατηγορουμένη ἐπὶ τὸ ὑποκείμενον *ὅ*, καὶ τοῦτο ἀόριστον· ἐν ᾧ καιρῷ ὁ τοῦ Φιλοσόφου νοῦς βούλεται σημαίνειν τὴν ἐνεργείᾳ ὕπαρξιν ἁπλῶς. Ὥστε οὐδὲ τὸ quiditas ἐκφράζει τὸ ΤΙΗΝΕΙΝΑΙ· στέρεται γὰρ τῆς χρονικότητος, ὅπερ ἀναγκαῖον εἰς τὴν φιλοσοφικὴν ἔννοιαν· μάλισθ' ὅτι παρὰ πολλῶν καὶ ἰδίᾳ παρὰ τοῦ φιλοσόφου τὸ ἀΐδιον τῆς Ὕλης, ἤ, ὡς ἄλλοι ἐπρέσβευσαν, καὶ τοῦ Εἴδους αὐτοῦ. Διὸ ἄλογος καὶ ἡ εἰς ΤΙ ἐγκλινόμενον διόρθωσις αὐτοῦ, οὐ γὰρ ἀοριστεῖ, ἀλλ' ἐστι τό ΤΙ quid· δείκνυται δὲ καὶ ἐκ τοῦ πληθυντικῶς λέγεσθαι τὰ ΤΙΗΝ ΕΙΝΑΙ, ὥσπερ ἀναλόγως προείπαμεν, ὅτι οἱ παλαιοὶ εἶχον καὶ πολλὰς Τετρακτῦς (§. 42). Οἱ τοίνυν ἀρχαῖοι οἱ περὶ Πυθαγόραν παραλαβόντες παρὰ τῶν Ἑβραίων τὸ יהוה ΕΥΕΙ ἔκριναν, κατά γε τὴν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐμὴν κρίσιν ὀρθότατα, μεταφράσαι αὐτὸ ἑλληνιστὶ διὰ τοῦ ΤΙΗΝ ΕΙΝΑΙ, ἀναλόγως πῶς εἰς τὸ τῶν ἀνατολικῶν ἐπὶ Θεοῦ λεγόμενον ΓεΝΑΒ-ΟΥΑΓιΒ-ΑΛ-ΟΥΓΟΥΔ ἤτοι ἡ θειότης, ἧς ἡ ὕπαρξις ἀναγκαία, ἢ κάλλιον τὸ ἀναγκαίως καὶ ἀφ' ἑαυτοῦ ὑφιστάμενον. (*)

§. 47. Ἀλλ' ἐρεῖ τις, εἴπως ἀληθῶς οἱ Πυθαγορικοὶ φιλόσοφοι εἰσήγαγον τὴν Τετρακτὺν, καὶ ἡ Τετρακτὺς αὐτὴ συνωνυμεῖ τῷ ΤΙΗΝΕΙΝΑΙ, διὰ τί ἡ λέξις αὕτη οὐχ εὕρηται ἐν τοῖς Πυθαγορι-

---

(*) Γραφικωτέραν ἔκφρασιν τοῦ Φιλοσόφου ἔλεγον ἂν μάλιστα καὶ τὴν (Ἠθικ. Νικομ. Θ. δ'. ἔκδοσ. Κοραῆ), «Ἕκαστος δ' ἑαυτῷ βούλεται τ' ἀγαθά· γενόμενος δ' ἄλλος, οὐθεὶς αἱροῖτ' ἂν ταῦτ' ἔχειν ἐκεῖνο τὸ γενόμενον· ἔχει γὰρ καὶ νῦν ΟΘΕΟΣ τἀγαθὸν, ἀλλ' ὢν ὅ,τι πότ' ἐστι· δόξειε δ' ἂν τὸ νοοῦν ἕκαστος εἶναι ἢ μάλιστα» τὸ γὰρ ὢν ὅ,τι πότ' ἐστι παράλληλος ἔκφρασις τῷ ἔσομαι ὃς ἔσομαι (§. 26.)· ἀλλὰ καὶ Δίων ὁ Κάσσιος (Ἱστ. λζ'. 15) περὶ τοῦ Θεοῦ τῶν Ἰουδαίων οὕτως ἀορίστως ἐκφράζεται «Καὶ ἐτύγχανον ὑπὲρ τῆς τοῦ σφετέρου Θεοῦ (ὅστίς ποτε οὗτός ἐστιν) ἱερωσύνης . . . αὐτοί τε διαφερόμενοι (Ὑρκανός τε καὶ Ἀριστόβουλος) καὶ τὰς πόλεις στασιάζοντες.» Ἀλλὰ νῦν πέπεισμαι ταύτην τὴν ἀνάγνωσιν εἶναι ἐπταισμένην, καί τοι καὶ ὑπὸ τοῦ μνημονευθέντος σοφοῦ ἐκδότου οὐ μόνον δοκιμασθεῖσαν, ἀλλὰ καὶ τῇ συνήθει αὐτῷ [illegible] δι' ἑρμηνείας τὸ ὁμολογούμενον αὐτῆς ἀκατάλληλον καὶ ἀνάρμοστον εὑρηκότες ἐσημείωσαν. Καὶ ἰδοὺ ἡ γνώμη μου. α'. ὁμολογοῦντες ὅτι Ο ΘΕΟΣ ὑπάρχει πανταχοῦ, ἀρνούμεθα ἀπολύτως τὴν ἐν τῷ χωρίῳ τούτῳ παρουσίαν αὐτοῦ, ὡς παντάπασιν ἀκατάλληλον εἰς τὴν ὑφὴν τοῦ λόγου. β'. Τὴν ἑρμηνείαν τοῦ Ἐκδότου, ὅς τις δικαίως κατέγνω τὴν νῦν ἀνάγνωσιν σκοτεινὸν ὠνόμασε τὸ χωρίον (σελ. 319), καὶ μηδὲ ἔχειν τι σιγῆς κρεῖττον ὡμολόγησεν, ὡς ἐκ μηχανῆς θεὸν ὑπολαμβάνω. γ'. 1. Ἡ διόρθωσις τοῦ, πάντ' εἰς, ταῦτ'. 2. καὶ ἡ προσθήκη τοῦ, αἰεὶ «ἀλλ' αἰεὶ ὤν. 3. καὶ τὸ, οὐκ ἄλλο (ἢ οὐκ ἀλλοῖον) ὂν» ἀντὶ τοῦ «ἀλλ' ὢν» πάντα ταῦτα ἴσως μὲν θεραπεύσουσι τὴν γραμματικὴν ἀσυμφωνίαν, ὡς λέγει, ἀλλὰ πάλιν Ο ΘΕΟΣ οὐκ ἐγχωρεῖ. δ'. Μόνην διόρθωσιν τοῦ κειμένου προβάλλω τὸ «ἔχει γὰρ καὶ νῦν ΟΥΘΕΙΣ (ἢ ὡς ἔγραφον οἱ ἀρχαῖοι μήπω ὄντος ἐν πολλῇ χρήσει τοῦ ου ΟΘΕΙΣ), ὅπερ κατὰ πολλοὺς λόγους ἀβλεψίᾳ ἢ ἀπροσεξίᾳ τῶν μεταγραφέων εὐκόλως ἔσχε τὴν μορφὴν ΟΘΕΟΣ. ε'. Ἡ τοιαύτη ἀνάγνωσις θαυμασίως εὐοδοῖ τὸ κείμενον, αἴρει τὸ ἀσήμαντον τῆς περιοχῆς, συμφωνεῖ πρός τε τὰ ἡγούμενα, «ΟΥΘΕΙΣ αἱροῖτ' ἂν ταῦτ' ἔχειν κτλ.» καὶ τὰ ἑπόμενα, καὶ συνᾴδει τοῖς τῶν ἐφεξῆς ε'. ς'. κεφάλαιων, καὶ ἰδίᾳ τῶν ζ'. καὶ η'. κτλ. ς'. Ἰδοὺ ἡ παράφρασις κατὰ τὴν προβαλλομένην διόρθωσιν «Ἕκαστος θέλει τἀγαθὰ μόνον δι' ἑαυτὸν, καὶ οὐδεὶς προετίμησεν ἂν ἵνα ἀλλάξῃ, γενόμενος ἄλλος ἀπὸ τοῦ, ὅ,τι πότ' ἐστιν ἤδη, οὐδ' ἐπὶ συνθήκῃ ἵνα τὸ γενόμενον ἐκεῖνο ἔχῃ συλλαβὸν πάντα τἀγαθά· καὶ ἤδη γὰρ ΟΥΔΕΙΣ ἔχει τἀγαθὸν, εἰμὴ καθ' ὅσον αὐτός ἐστιν ὅ,τι πότ' ἐστιν· ἀλλὰ τί ἄλλο ἐστιν (ἢ ὅλως διόλου, ἢ καὶ τὸ πλεῖστον), εἰμὴ τὸ ΝΟΗΤΙΚΟΝ;» Ὁ δὲ πᾶς νοῦς τῆς περιοχῆς τοιοῦτός τίς ἐστιν. «Ἵνα δὲ γνῷς, ὅτι ἐπ' ἀληθείας ὁ ἄνθρωπος μόνον δι' ἑαυτὸν καὶ εἰς ἑαυτὸν θέλει τἀγαθὰ, σκέψαι καὶ ὧδε, ὅτι οὐδεὶς προτιμᾷ ἵνα (ἂν ποιήσωμεν τοιαύτην τινὰ συνθήκην), ἀπολέσας τὴν παροῦσαν προσωπικὴν αὐτοῦ συνείδησίν τε

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

κοῖς, ἢ διὰ τί πρὶν τοῦ Ἀριστοτέλους οὐκ ἐμνήσθη αὐτῆς ὁ Πλάτων; ἔστιν ὅμως ἀποκριθῆναι προχείρως, ὅτι ἢ διὰ τὴν συνωνυμίαν ἦν περιττὸν, ἢ διὰ τὴν ἑρμηνείαν ἦν μυστικὸν, καὶ πρῶτος ἐξέφερεν αὐτὸ, ὡς προέφημεν (§. 45) ὁ Δημόκριτος, μεταχειρισθεὶς αὐτὸ εἰς τὴν φυσικὴν θεωρίαν, ἄνευ ὅμως, κατὰ τὸν Ἀριςοτέλην, τῆς προσηκούσης ὠφελείας, καὶ ἐκτάσεως τοῦ νοήματος. Εἶτα δὲ σκόπει, ὅτι οὐδὲν σχεδὸν ἀπολείπεται ἡμῖν τῆς τῶν Πυθαγορικῶν φυσικῆς θεωρίας. Περὶ δὲ τοῦ Πλάτωνος ἐσημείωσεν ὁ Ἀριστοτέλης (Μεταφ.

---

και συναίσθησιν, καὶ γενόμενος ἄλλος, (αὐτὸ τὸ ἄλλο τι) ἔχῃ πάντα τἀγαθὰ· ἐπειδὴ οὐδεμία ἡ ἐκ τούτων ἀπόλαυσις αὐτοῦ. Ὁ γὰρ λέγων ἔχω τι ἀγαθὸν, λέγει τοῦθ', ὡς ὢν αὐτὸς πρόσωπόν τι ὁποιονδήποτε· αὕτη δὲ ἡ προσωπότης ἐφεδράζει πάντως, ἢ πᾶσα ὁμοῦ, ἢ μέγιστον μέρος ἐπὶ τὸ **ΝΟΗΤΙΚΟΝ**, εἰς ὃ ἀναφέρεται καὶ τὸ ἀγαθόν. Ὥστ' ἂν γενόμενος ἄλλος ἔχῃ πάντα τἀγαθὰ δυοῖν θάτερον, ἢ ἕξει συνείδησιν, ὅτι αὐτὸς ὁ πρώην ἐστιν ἤδη ἄλλος, ἐφ' ὃν τἀγαθὰ, ὧνπερ, πρὶν γενέσθαι ἄλλος, ἐστερεῖτο, ἢ οὔ. Εἰ μὲν τὸ πρῶτον, ῥητέον· ἐπειδὴ τὰς δύο συνειδήσεις ἀδύνατον συμπεσεῖν ἄνευ συναλοιφῆς, ἄτοπος καὶ ἀδύνατος ἡ ἰδέα· ἔχει γὰρ ἀντίφασιν μεταφυσικήν. Τότε γὰρ ἂν ἦν, ὡσεὶ ἔλεγεν, ἐ γ ὼ ὅστις εἰμὶ ἤγουν διακεκριμένος ἀπὸ πάντων πλὴν ἐμοῦ, καὶ ὁ ἄ λ λ ο ς ὅς τίς ἐστιν· ἤγουν διακεκριμένος ἀπὸ πάντων πλὴν ἑαυτοῦ, ε ἰ μ ὶ ε ἷ ς καὶ ὁ α ὐ τ ὸ ς μὴ διακεκριμένος. Ἀλλὰ τότε ἡ πρεσβυτέρα συνείδησις θεωρήσει ξένην ἑαυτῇ τὴν κατάστασιν τοῦ γενομένου ἄλλου, καὶ ἀκολούθως καὶ τὰ ἀγαθὰ αὐτοῦ μὴ ἑαυτῆς· καὶ εἴη, ὡς ἂν μὴ ἐγένετο ἄλλος μᾶλλον ἢ ὅ,τι ἐςὶ νῦν, ὁρῶν τὰ τῶν ἄλλων ἀγαθὰ, ἢ ξένα, ὡς καὶ εἰσιν. Ὥσπερ γὰρ ἀδύνατον τὸ ἄλλον τινὰ γεννηθῆναι ἀντ' ἐμοῦ, οὕτως ἀπολύτως ἀδύνατον, ἵνα κἂν πρὸς στιγμὴν γένωμαι ἐγὼ ἄλλος, παρ' ὅ,τι εἰμὶ, ὡς λέγει σκεπτόμενος περὶ τῆς ἀτομικότητος καὶ προσωπότητος ὁ φιλόσοφος Φίχτης (Revue de Deux Mondes. Vol. V. Mars. pag. 575)· καὶ ταῦτα μὲν ἐν τῇ πρώτῃ περιπτώσει· εἰ δὲ τὸ οὔ· πάλιν εἰς τὸ αὐτὸ ἄτοπον πίπτει· τί γὰρ μᾶλλον ὀρεχθήσεται ἵνα ἀλλάξῃ, ἐν ᾧ καὶ ἄνευ ἀλλαγῆς βλέπει τἀγαθὰ εἰς τοὺς ἄλλους, καὶ οὐδεμία εἰς αὐτὸν ἀπόλαυσις; Διὸ φύσει ὁ ἄνθρωπος προτιμᾷ ἐπὶ τὸ ἑαυτοῦ πρόσωπον καὶ μικρὰ ἀγαθὰ, ἢ μεγάλα ἐφ' ἑτέρου· ὅθεν πηγάζει ἡ ἀγάπη καὶ ἡ προτίμησις τῶν ἡμετέρων κτλ. περὶ ὃ δύο κακίαι οἴησις καὶ μεμψιμοιρία, καὶ μία ἀρετὴ ἡ αὐτάρκεια.» Εὐκόλως δ' ἄν τις πείσοι ἑαυτὸν εἰς τὴν τοῦ **ΟΥΘΕΙΣ** ἀνάγνωσιν, ἀναλύων τὴν περίοδον καὶ ἀντιστρόφως ἤτοι: α΄. «δόξειε τὸ **ΝΟΟΥΝ** ἕκαστος εἶναι» ἑπόμενον ὂν τοῦ β΄. «ἀλλ' ὢν ὅ,τι ποτ' ἐστιν·» ἡ δὲ θέσις τοῦ ἀλλ', ἀπαιτεῖ τὴν προηγουμένην ἄρσιν. γ΄. **ΟΥΘΕΙΣ** ἔχει· αὕτη δὲ ἡ καθολικὴ ἄρνησις, ἡ ἀρνητική ἐστι μείζων, ἡ κατασκευάζουσα τὴν προηγηθεῖσαν καθολικὴν ἄρνησιν: ἤτοι ἀπόδειξίς ἐστι τοῦ, διὰ τί δ΄. οὐδεὶς εὐχαριστεῖται, οὐδ' ἐπὶ συνθήκῃ ἀπολαύσεως μεγάλων ἀγαθῶν, ἵνα ἀνταλλάξῃ ἑαυτόν. Ἐκ τούτου λοιπὸν συμβαίνει, ἵνα ἕκαστος ἑ. ἑαυτῷ βούληται τἀγαθὰ· ὅπερ ἦν ἡ πρότασις τοῦ Φιλοσόφου· εἰς ἣν ἐπισυνάπτει συνδιάγειν τε ὁ τοιοῦτος κτλ. Ὥστε δύναμαι ὀμόσαι εἰς Θεὸν, ὅτι ἐνταῦθα οὐδεμίαν χώραν ἔχει, **ΟΘΕΟΣ**, ὅστις ὀφείλει παραχωρῆσαι τὸν τόπον αὐτοῦ εἰς τὸ **ΟΘΕΙΣ** ἢ **ΘΥΘΕΙΣ**, ἵν' εὖ ἔχῃ τὸ πᾶν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ά. 6), ὡς σεμνοτερίζοντος τὰ Πυθαγορικὰ ὀνόματα καὶ παραλλάσσοντος ταῦτα. «Οἱ μὲν γὰρ Πυθαγόρειοι μίμησιν τὰ ὄντα φασὶ εἶναι τῶν ἀριθμῶν, Πλάτων δὲ μέθεξιν, τοὔνομα μεταβαλών.» Καὶ ἴσως ἐσήμαινε τὸ *τιηνειναι* δι' ἑτέρου ὀνόματος: Εἴδους δηλονότι κτλ. ὡς καὶ ὁ Κοραῆς κακῶς μὲν, ὑπετόπασε δ' ὅμως ἀνωτέρω τὸν Ἀριστοτέλη νοοῦντα τὰς οὐσίας καὶ τὰ εἴδη, καίτοι πολλαχοῦ σημαίνοντα τὸ ΤΙΗΝΕΙΝΑΙ γενικώτερον καὶ τῆς οὐσίας καὶ τοῦ εἴδους, καὶ ἀσυγχύτως πρὸς τὸ *εἶναι* καὶ πρὸς τὸ *ὂν* κατάτε τὸ νοητὸν καὶ αἰσθητόν· ἡ μέντοι ἔρευνα τούτων καὶ τῶν τοιούτων οὐ τῆς ἡμετέρας προθέσεως· εἰ δὲ προσηρμώσθη τὸ θεῖον ὄνομα ὑπὸ τὸ ΤΙΗΝΕΙΝΑΙ εἰς φυσικῆς ὑπάρξεως σημασίαν, οὐδὲν πρὸς ἔπος· καὶ γὰρ καὶ τὴν τετρακτὺν προσήρμωσαν εἰς τὴν φύσιν (§. 41), καὶ οἱ Καβαλισταὶ, καθ' ἑτέραν σημασίαν, πᾶσαν φυσικὴν γνῶσιν προσαρμόζουσιν εἰς τὸ יהוה (§. 35.).

§. 48. Δι' αὐτὰς λοιπὸν τὰς ποικίλας ἰδιότητας καὶ θεωρίας, γινομένας ἐν αὐτῇ τῇ λέξει יהוה, ἀνεκφώνητον διετέλεσε διὰ παντὸς καὶ ἀπόῤῥητον· ἴσως μέντοι καὶ διὰ τὸ μὴ νομίζεσθαι ἕνα τῶν πολλῶν θεῶν, ὅ,τινες ἀποπλανηθέντες ἐποίησαν οὐ μόνον ἐπὶ τὸ ὄνομα ΙΕΥΕ (§. 35.), ἀλλὰ καὶ ἐπὶ τῆς ὀνομασίας αὐτῆς, ΕΙΣ Κύριος ὁ Θεὸς ἡμῶν Κύριος ΕΙΣ ἐστι. (Δεύτερον. ς'. δ'.)· ἣν παραλόγως ἀπέδωκαν καὶ εἴς τι εἴδωλον, εἰ ἄρ' ἀληθῶς ἔχει τὸ ἐν τῇ Ἰουδαϊκῇ ἐκδόσει κείμενον Ἡσαΐου τοῦ προφήτου λέγοντος (Ξς'. 17)...

המתקדשים והמטהרים אל הגנות אהר אחד בתוך

אכלו בשר החזיר «Οἱ ἁγιαζόμενοι καὶ καθαριζόμενοι ἐν τοῖς κήποις ὀπίσω τοῦ ΕΝΟΣ ἐν τῷ μέσῳ ἐσθίοντες κρέας ὕειον.» Οὗτος δ' ὁ ΕΙΣ κατὰ τὸν Σκαλίγηρον ἦν εἴδωλόν τι ἐν μέσῳ τοῦ κήπου, καίτοι τοῦ ῥητοῦ ἄλλως τε καὶ ὀρθοτέρως ἔχοντος παρὰ τοῖς Ο'. «Οἱ ἁγνιζόμενοι καὶ καθαριζόμενοι εἰς τοὺς κήπους, καὶ ἐν τοῖς προθύροις ἔσθοντες κρέας ὕειον». Διὸ ἡμεῖς ἀλλαχοῦ που Γεῦμα Κριτικ. καὶ Ἱστορ. τοῦ Θείου Γραμ. Μέρος Β'. §. 72.) ὕποπτον καὶ παρείσακτον οὐκ ἀπιθάνως ἐκρίναμεν τὸ παρ' Ἰουδαίοις

σημερινὸν κείμενον. Ἀποδοθὲν τοίνυν, ὡς ἔφημεν, ἅπαξ τὸ θεῖον ὄνομα εἰς ψευδεῖς θεοὺς, φρονήσεως ἔργον τὸ μὴ προφέρεσθαι φόβῳ ἀπάτης εἰδωλολατρικῆς διὰ τὴν ὁμωνυμίαν, ὅθεν καὶ ἀπόῤῥητον διετέλεσε.

§. 49. Ἐξ ἁπάντων οὖν τῶν διαληφθέντων θείων ὀνομάτων (§. 36) τὸ יה καὶ τὸ יהוה αἰνετώτερα καὶ ὑμνητότερα ὁρῶνται ἐν τῇ Γραφῇ, μάλιστα τὸ δεύτερον πρώτως εἰς τὸν Μωϋσῆν ἀποκαλυφθέν. Οὕτω γὰρ γέγραπται ἐν τῇ Ἐξόδῳ (ϛʹ. 3) וָאֵרָא אֶל־אַבְרָהָם אֶל־יִצְחָק וְאֶל־יַעֲקֹב בְּאֵל שַׁדָּי וּשְׁמִי יהוה לֹא נוֹדַעְתִּי לָהֶם. « Καὶ ὤφθην τῷ Ἀβραὰμ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ ΒιΕΛ ΣεΔαΪ (ἐν Θεῷ Ἰσχυρῷ), τὸ δὲ ὄνομά μου ΙεΧοΥαΧ οὐκ ἐγνώρισα αὐτοῖς. » Ὅπερ οἱ Οʹ. « Ὤφθην πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ Θεὸς ὢν αὐτῶν (οἱονεὶ אֱלֹהִים καθ' ἣν ἑρμηνείαν προδεδηλώκαμεν §. 36), καὶ τὸ ὄνομά μου Κύριος οὐκ ἐδήλωσα αὐτοῖς. » Ὁ Ἱερώνυμος λεκτικώτερον Qui apparuit Abraham Isaac et Jacob in Deo Omnipotente et nomen meum Adonai non indicavi eis· «Ὁ ὀφθεὶς τῷ Ἀβραὰμ Ἰσαὰκ καὶ Ἰακὼβ ἐν Θεῷ παντοδυνάμῳ, τὸ δὲ ὄνομά μου Ἀδωναῒ οὐκ ἔδειξα αὐτοῖς » οὐδ' ὁ Λουθῆρος διαφόρως und bin erschienen Abraham Isaak und Jacob; dass ich ihr Allmöchtiger Gott seyn wolte; aber mein name Herr ist ihnen nicht geoffenbaret worden. « Καὶ ὤφθην τῷ Ἀβραὰμ, Ἰσαὰκ καὶ Ἰακὼβ, ὅτι αὐτοῖς Παντοδύναμος Θεὸς ἦν, τὸ δὲ ὄνομά μου Κύριος οὐκ ἀπεκαλύφθη αὐτοῖς » Σὺν πᾶσι μέν τοι τούτοις καὶ ὁ Ἱερώνυμος καὶ ὁ Λουθῆρος ἀκαίρως περιττότητα Ἰουδαϊκὴν διώκοντες, ὁ μὲν διὰ τοῦ Ἀδωναῒ, ὅπερ καὶ πρὸ τοῦ Μωσέως ἦν γνωστὸν, ὁ δὲ διὰ τοῦ Κύριος καὶ αὐτὸ προεγνωσμένον μετέφερον τὸ ƎΥƎΙ, ἢ ΙεΧοΥαΧ· τὸ ἐμφαῖνον τὴν διηνεκῆ ὀντότητα καὶ ὕπαρξιν τοῦ Θεοῦ (§. 26)· τὸ ΣεΔαΪ ὅμως ἡρμήνευσαν ὀρθῶς πως « Παντοδύναμος ». Εἰς γὰρ τὸν Ἀβραὰμ μέχρι Μωσέως ΕΛ (ΣεΔαΪ) ΙΣΧΥΡος ἐγνώσθη, ἐν δὲ τῇ Νομοδοσίᾳ πρὸς τὸν Μωϋσῆν ΙεΧοΥαΧ οἱονεὶ (ἀεὶ ὢν) ΑΘΑΝΑΤΟΣ, πρὶν δὲ τῶν



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

δύο τούτων ἐπιφανειῶν ἐν τῇ Δημιουργίᾳ, ΕΛΩΙΜ, ἤτοι ἁπλῶς ΘΕΟΣ ἀναγγέλλεταί τε καὶ ἑρμηνεύεται. Ἐκ τούτου καὶ οἱ Ἰουδαῖοι (Ταρφὼν παρὰ Κιρχέρῳ (Cabal Hebæor.) «Ἐν τρισὶ καιροῖς τρία καὶ διάφορα θεῖα ὀνόματα ἐγένοντο ἐν χρήσει· ἐν γὰρ τοῖς τῆς Φύσεως λεγομένοις χρόνοις ὠνομάζετο שדי ΣΔΙ ἸΣΧΥΡΟΣ, ἐν δὲ τοῖς τοῦ γραπτοῦ νόμου χρόνοις ὠνομάζετο יהוה (ΙεΧοΥαΧ) ΑΘΑΝΑΤΟΣ· ἐν δὲ τοῖς τοῦ *δικαίου* Μεσσία ἡμῶν ὀνομασθήσεται יהשוה ΙΕΣΥΕ ΣΩΤΗΡ ἢ ΕΛΕΗΜΩΝ». Ὥστε πρὶν τοῦ ΙΣΧΥΡΟΣ ὠνομάζετο ἁπλῶς אֵל ΕΛ ΘΕΟΣ ἢ אֱלֹהִים.

*Σημ.* Οὐ μάτην *δίκαιον* καλεῖ ὁ Ταρφὼν τὸν Μεσσίαν· γέγραπται γὰρ καὶ ἐν Βίβλῳ προφητειῶν Ἱερεμίου (κεφ. κγ΄. 6) «Καὶ τοῦτο ὄνομα αὐτοῦ, ὃ καλέσει αὐτὸν Κύριος, *Ἰωσεδὲκ*, »ἔκδ. Κομπλ. ὅπου τὸ Ἰὼ ἐστι συγκοπὴ τοῦ יהוה καὶ σεδὲκ δικαιοσύνη ὡς ἂν ἔλεγε δικαιοσύνη θεοῦ ἢ *Θεόδικος*· ἐν μέντοι τῷ Ἰουδαϊκῷ κειμένῳ τὸ μὲν καλέσει καλέσουσι φέρεται, τὸ δὲ יהוה צִדְקֵנוּ *Κύριος δικαίωσις ἡμῶν*· οἱονεὶ Κυρίου ὄνομα, ὥσπερ καὶ τὸ Ἐμμανουὴλ «μεθ' ἡμῶν ὁ Θεός».

§. 50. Ἀλλ' ἡ γνώρισις αὐτὴ τοῦ θείου ὀνόματος יהוה γενομένη εἰς Μωσῆν ὑποληπτέα, ὡς ἑρμηνεία τις ἐπ' αὐτὸ ἢ καὶ ἐπὶ τὸ τῆς συνημμένης αὐτῷ ἱερωσύνης μυστήριον· ἄλλως γάρ, οὐ μόνον ἀναφέρεται τὸ יהוה εἰς τὴν τῆς Γενέσεως Ἱστορίαν τῶν πρὸ τοῦ Νόμου Πατριαρχῶν· ἀλλὰ καὶ ἰδίᾳ σημειοῦσιν οἱ Ῥαββῖνοι τὸν τρόπον τῆς δι' αὐτοῦ τοῦ ὀνόματος εὐλογίας, ἣν ἔδωκε Νῶε τῷ υἱῷ αὐτοῦ Σήμ· ὃ δὴ καὶ ὁ Βοχάρτος ἐν τῷ πολυθρυλλήτῳ αὐτοῦ συντάγματι Geographia Sacra «Ἱερὰ Γεωγραφία» ἐπιγραφομένῳ (L. III. c. 1.) ὧδέ πως ἀναφέρει· Nec temere esse judæi putant quod in illa (Benedictione Japheti) Noê Deum invocat solo nomine Eloîm אֱלֹהִים, id est Dei inter gentes recepto; non tetragrammato, יהוה quod junxerat nomine Eloim in Semi benedictione; sic scilicet innui putant Deum Jehovam nonnisi solis Semi posteris: id est judæis revelandum. «Οὐδὲ μὴν ἄπο

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

λόγου, οἴονται οἱ Ἰουδαῖοι, ἐν τῇ (τοῦ Ἰάφεθ) εὐλογίᾳ τὸν Νῶε ἐπικαλέσασθαι τὸν Θεὸν μόνῳ τῷ Ἐλωΐμ ὀνόματι τῷ ἐν τοῖς ἔθνεσι γνωςῷ יפתאלהים ליפת «πλατύνοι ὁ θεὸς τῷ Ἰάφεθ» ἀλλ' οὐ τῷ τετραγραμμάτῳ, ὃ δὴ συνῆψε τῷ ὀνόματι Ἐλωΐ ἐν τῇ τοῦ Σὴμ εὐλογίᾳ בָּרוּךְ יְהוָֹה אֱלֹהֵי שֵׁם « Εὐλογήσαι Κύριος ὁ Θεὸς τὸν Σήμ ». σημαίνειν γὰρ οὕτως εἰκάζουσι μόνοις τοῖς ἀπογόνοις τοῦ Σὴμ, οἵ εἰσιν οἱ Ἰουδαῖοι, ἀποκαλυφθησόμενον τὸν יְהוָֹה.» Ὅθεν εἰκάζομεν καὶ πρὸ τοῦ Μωσέως γνωστὴν γεγονέναι τὴν ὀνομασίαν ταύτην παρὰ τοῖς Πατριάρχαις κἀξ ἐκείνων τῶν χρόνων γνωστὴν τὴν Τετρακτὺν καὶ τὸ Τετράωτον, ὅπερ ἄλλως ἐθεώρουν καὶ εἰς τὰς τέσσαρας κρατίστας δυνάμεις τοῦ Ἀπόλλωνος ἑρμηνευομένας ὑπὸ τοῦ Πλάτωνος (ἐν Κρατύλῳ περὶ τὸ τέλος τοῦ πρώτου τετάρτου) ἔθει τῷ ἑωϋτοῦ. — « Σωκράτης. Ἐγὼ πειράσομαι φράσαι, ὅγε μοι φαίνεται· οὐ γάρ ἐστιν ὅ,τι ἂν μᾶλλον ἥρμοσεν ὄνομα, ἓν ὄν, τέταρσι δυνάμεσι ταῖς τοῦ Θεοῦ, ὥστε πασῶν ἐφάπτεσθαι, καὶ δηλοῦν τρόπον τινὰ Μουσικὴν καὶ Μαντικὴν καὶ Ἰατρικὴν καὶ Τοξικήν». Ὁ Πλάτων ἢ ἤκουσεν ἐν Αἰγύπτῳ ἢ καὶ ἀνέγνωσεν, ὅτι ὁ Ἀπόλλων ἤτοι ὁ אב עליון ἢ ὁ יהוה διὰ τεττάρων μάλιστα χαρακτήρων ἐσημαίνετο· ἅπερ ἴσως εἶδε μὲν καὶ ἱερογλυφικῶς τετυπωμένα ὡς προσόντα τοῦ Ἀπόλλωνος, ἐκαλλώπισε δ' ἐμμελέστερον καὶ μούσῃ τῇ Ἑλληνικῇ προσήρμωσεν εἰς τὰς πατρίους γνώσεις τῶν ἰδιοτήτων τοῦ Θεοῦ. Ἰδοὺ ἡ πιθανολογία τῆς ἡμετέρας ἑρμηνείας· ά. Ἑρμηνεία τοῦ י. Τὸ י ἐν τῇ Ἑβραΐδι ἀριθμητικῶς σημαίνει *δέκα*, τὸ δὲ *δέκα* παρ' Αἰγυπτίοις ἐγράφετο κατὰ τὸν Ὡραπόλλωνα (ἐν Ἱερογλ. Β. ἀριθ. καὶ) οὕτω X, ὡς καὶ νῦν ἐν τῇ Λατινίδι· τὸ δὲ σημεῖον τοῦτο, οἱονεὶ τόξον ἐπὶ χορδῆς ἐμφαῖνον αὐτοσχεδίως τὴν λύραν, σημαίνει καὶ τὸν κόσμον καὶ τὴν ἁρμονίαν ἢ *Μουσικὴν* (« τὴν Μουσικὴν εἶπον οἱ παλαιοὶ συνέχειν τὸ πᾶν. » Ψελλὸς, ἐν Μουσ.) ἤτοι τὸν Συνέχοντα τὰ πάντα ἐν ἁρμονίᾳ Θεὸν, καὶ παρὰ τῷ αὐτῷ Ὡραπόλλωνι, εὕρηται (ἀριθ. ρή) «ἄνθρωπον συνοχέα καὶ ἑνωτικὸν βουλόμενοι σημᾶναι λύραν ζωγραφοῦσι». Ἰδοὺ διὰ τί ὁ Ἀπόλλων συμβολικῶς ἔχει πρώτην ἰδιότητα τὴν Μουσικήν. ϐ'. Ἑρμηνεία τοῦ ה Τὸ ה ἐν τῇ Ἑβραΐδι σημεῖον καὶ ἀρχικόν ἐςι στοιχεῖον τοῦ ὑπαρ-

κτικοῦ ῥήματος הוה. Ἐν δὲ τῇ Ἱερογλυφικῇ γλώσσῃ τῆς ὑπάρξεως ἢ τοῦ ζῆν διηνεκῶς δι᾿ ὄφεως σημαινομένου, ὡς κἂν τῇ Ἀραβίδι ὁ ὄφις حيّة καὶ Πληθυντικῶς حيات (ὅθεν ἴσως καὶ τὸ Ἑλληνικὸν ἔχις καὶ ἡ ἰδέα τοῦ τὴν σάρκα ἐχνίδης ὠφέλιμον εἶναι καὶ ζωῆς χορηγόν) εἴληπται ἐκ τῆς αὐτῆς φωνῆς ἐξ ἧς καὶ ἡ ζωὴ حيّ καὶ ἐν ἑτέρᾳ μορφῇ حياة· ἀλλ᾿ ἐπειδὴ σύμβολον τῆς τε Ἰατρικῆς καὶ Μαντικῆς τὸ αὐτὸ ἤτοι ὁ ὄφις· διὰ τοῦτο ὁ Πλάτων ἢ καὶ οἱ αὐτὸν διδάξαντες, ὁρῶντες δύο ὄφεις τουτέστι ה καὶ ה, τὸ μὲν Ἰατρικῆς τὸ δὲ Μαντικῆς σύμβολον εἰκασάντε καὶ ἠρίθμησαν· καὶ οὕτως ἡ Μαντικὴ καὶ ἡ Ἰατρικὴ ἐγένοντο δύο τῶν τεσσάρων ἀρχικῶν ἰδιοτήτων τοῦ Ἀπόλλωνος· οὕτω γὰρ ἀστειεύεται καὶ ὁ Ἀριστοφάνης (Πλούτ. ἀρχ. « ὃς ἰατρὸς ὢν καὶ μάντις σοφός· ») ἅπερ καὶ πρότερον συνεζευγμένα ἀνεφέραμεν. Ἑρμηνεία τοῦ ו. Τοῦτο καὶ κατὰ τὸ σχῆμα, μάλιστα ἐν τῇ Ἀραβίδι καὶ δὴ καὶ λεκτικῶς ἐν τῇ Ἑβραΐδι וָו σημαίνει τὸ ἀγκύλον ἢ καμπύλον (וָוִים Ἐξόδ. λή. 28 οἱ Ο΄. μεταφράζουσιν ἀγκύλας), ὃ ἐν ἱερογλυφικῶς ἐσημαίνετο διὰ τόξου· ὅθεν καὶ ὁ Ὅμηρος τὰ δύο ταῦτα ἐπίθετα συνάπτει διηνεκῶς τῷ *τόξα*, λέγων « ἀγκυλότοξον » τὸν Ἀπόλλωνα καὶ « *καμπύλα τόξα* ». Καὶ ἰδοὺ τίνι λόγῳ ἡ Μουσικὴ ἡ Ἰατρικὴ ἡ Μαντικὴ καὶ ἡ Τοξικὴ ἐθρυλλήθησαν τέσσαρες δυνάμεις ἢ ἰδιότητες τοῦ Θεοῦ ΙΕ ΠαΙΑΝ ἢ τοῦ אב עליון ΑΠ ΟΛΛων. Καὶ ὁ Πλάτων ἐζήτει ὄνομα περιέχον ταύτας τὰς τέσσαρας ἰδιότητας « ἓν ὂν . . . . πασῶν (τῶν τεσσάρων ἰδιοτήτων) ἐφάπτεσθαι· » ὃ σημαίνει ἓν ὄνομα συντεθειμένον יהוה ἔχει δ᾿ ὀρθῶς τὸ ἐφάπτεσθαι, ἤγουν οὐ συμβολικῶς, ἀλλὰ γραμματικῶς. Ὅτι δὲ τὰ τοιαῦτα σύμβολα ἐν πολλοῖς ἐσήμαινον καὶ γράμματα, δῆλον ἐκ τῶν λόγων τοῦ Ἱεροῦ πατρὸς Κλήμεντος (Στρωμ. Ε΄. ή.) « Ἤδη δὲ ἐν ταῖς λεγομέναις παρ᾿ αὐτοῖς κωμασίαις τῶν θεῶν χρυσᾶ ἀγάλματα, δύο μὲν Κύνας, ἕνα δὲ Ἱέρακα, καὶ Ἶβιν μίαν περιφέρουσι καὶ καλοῦσι τὰ τέσσαρα τῶν ἀγαλμάτων εἴδωλα τέσσαρα γράμματα »· ὅθεν εἰκάζεται, ὅτι τὰ εἴδωλα οὐ μόνον συμβόλων (ὥσπερ παρὰ τῇ Ἀθηνᾷ ἡ Γλαὺξ ἡ ὁρῶσα ἐν σκότει ἐσήμαινε τὴν Σοφίαν, ὁρῶσαν ἐν τῷ σκότει τῆς ἀμαθείας), ἀλλὰ καὶ γραμμάτων ἐθεράπευον χρείαν,

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἴσως ἰδίως διὰ τὰς ἐκ ξένων γλωσσῶν φωνὰς, ἄλλως ὅμως σημειωτέον ὅτι ὁ Χαμπολλίων (Champollion) ἀπέδειξε τοὺς Αἰγυπτίους καὶ ἐν αὐτῇ αὐτῶν τῇ γλώσσῃ χρῆσθαι τὰ ἀντικείμενα κατὰ τὴν ἀρχικὴν φωνὴν τοῦ ὀνόματος αὐτῶν: οἷον τὸν ἀστέρα (Σιὸν ἢ Κιὸν) ἐχρῶντο ὡς Σ ἢ Κ συρικτικόν· τὸν Λέοντα ('Λαβὸ) ἐχρῶντο ὡς Λ κτλ. Εἰς ταύτην δὲ τὴν ἱερογλυφικὴν ἀρχαίαν ἔκθεσιν εἴτις προσθείη καὶ τὸν Ἁρποκράτη, ἢ ὡς ἔλεγον οἱ Ἕλληνες Σιγαλίωνα, ὄντα *νέον*, τὸν *δάκτυλον* φέροντα ἐπὶ *στόματος*, *κυλλὸν*, ἐπὶ *φύλλον λωτοῦ*, καὶ πολλαχῶς μὲν ὡς φυσιολογικὴν ἢ μετεωρολογικὴν (Πλούτ. Ἴσ. καὶ Ὀσιρ.) σημασίαν ἔχει βεβιασμένως ἑρμηνευόμενον, διὰ δὲ τὸ ἀεὶ ἐπὶ ταῖς θύραις τῶν ναῶν προσιστᾶναι θεόν τινα εἶναι μαρτυρούμενον, καὶ ἀνέκαθεν ἀδελφὸν τοῦ Ὥρου ἢ Ἀπόλλωνος πιστευόμενον (τὸ δὲ ἀδελφὸν ἐν τῇ ἱερογλυφικῇ ἢ τὸ ταὐτὸν ἢ τὸ ὁμοῦ (§. 23) σημαίνει), συμπληρώσει τὸ *ἄφατον* καὶ ἀνέκφραστον θεῖον ὄνομα יהוה. ὥστε τῶν τεττάρων γραμμάτων τοῦ θείου ὀνόματος, τέσσαρσι δυνάμεσι ταῖς τοῦ Ἀπόλλωνος ἢ Ὥρου ὑποτυπουμένων, ἄφατον εἶναι αὐτὸ καὶ ἀνέκφρασον διὰ τῆς πέμπτης ταύτης, καὶ ἀδελφῆς τοῦ Ἀπόλλωνος, ὑποτυπώσεως δείκνυται « Τὸ πρῶτον νοητὸν διὰ σιγῆς μόνης θεραπεύεσθαι » (Ἰαμβ. Ἡ. γ'.). Καὶ δοκεῖ τοῦτο σημαίνειν τὸ τοῦ ἱεροῦ Κλήμεντος (Στρωμ. Β.) « εἰσὶ γὰρ τὰ τῶν Ἑβραίων μυστήρια ὁμοιότατα τοῖς μυστηρίοις τῶν Αἰγυπτίων »· μέγα γὰρ μυστήριον παρ' Ἑβραίοις τὸ πανύμνητον καὶ ἀπόῤῥητον ὄνομα. « ἐν Αἰγύπτῳ δὲ τοὺς Θεοὺς ὑμνοῦσι διὰ τῶν ἑπτὰ φωνηέντων οἱ ἱερεῖς » (§.28) Δημ. Φαλ. περὶ Ἑρμην. 71. ἂν μὴ προσθῇς καὶ τὴν περιτομὴν, ἥτις ὅμως παρ' Ἑβραίοις οὐ λογίζεται μυςήριον. Καὶ εἶεν τὰ τρία ὀνόματα αὐτὴ ἡ ἀρχὴ τοῦ *Τρισαγίου ὕμνου* τοῦ ἀνὰ πᾶσαν τὴν καθολικὴν Ἐκκλησίαν ᾀδομένου τε, καὶ μυρίων λόγων καὶ μεγάλων ταραχῶν προφάσεως γενομένου ἐπὶ αἰῶνας διὰ τὴν προσθήκην τοῦ « ὁ σταυρωθεὶς δι' ἡμᾶς, » ὑπὸ τοῦ δυσσεβοῦς Πέτρου τοῦ Κναφέως τοῦ τῆς Ἀντιοχείας ἐπισκόπου. Ὁ Ὕμνος οὗτος (*), ὑπὸ παιδὸς ἀερίου ἀρθέντος κατὰ τὸν μέγαν

---

(*) Ἠκολούθησα ἐνταῦθα τὴν κοινὴν γνώμην· ἄλλως μὲν γὰρ ὁ Ὕμνος οὗτος, ὡς ἐκ τῆς ἡμετέρας ταύτης ἐκθέσεως εἰκάζεται, δοκεῖ πρέσβυστος τῶν ὕμνων, οὐ μὴν δὲ καὶ ἐν συχνῇ χρήσει· ἡ δ' ἐπὶ Πρόκλου τοῦ ἁγιωτάτου κατασχοῦσα ἀνάγκη ἐ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐν Κωνσταντινουπόλει τῷ υμδ' συμβάντα σεισμὸν ᾀσθεὶς, καὶ ὡς ἱστορεῖται ὑπὸ Πρόκλου τοῦ τότε ἁγιωτάτου πατριάρχου ταύτης τῆς Πόλεως ἀνδρὸς θεοσεβοῦς τε χρηματίσαντος καὶ τῶν Γραφῶν εἰδήμονος, συντονώτερον συνταχθεὶς μεγαλύνει Ἅγιον τὸν Ἐλωΐμ אֱלֹהִים (τὸν Θεὸν) τὸν ἐν τῇ Δημιουργίᾳ εἴς τε τὸν Ἀδὰμ καὶ τοὺς μετ' αὐτὸν μέχρι τοῦ Ἀβραὰμ πατέρας γνωσθέντα. Ἅγιον τὸν ΕΛ-ΣεΔαΙ אֵלשַׁדַּי (τὸν Ἰσχυρὸν) τὸν ἐν τῇ ἐπαγγελίᾳ εἴς τε τὸν Ἀβραὰμ καὶ εἰς τοὺς μετὰ τὸν Ἀβραὰμ μέχρι τοῦ Μωσέως γνωσθέντα. Ἅγιον τὸν ΙεΧοΥαΧ יהוה (τὸν Ἀθάνατον) τὸν ἐν τῷ Νόμῳ εἴς τε τὸν Μωσῆν καὶ εἰς τοὺς μετὰ τὸν Μωσῆν γνωσθέντα, καὶ ἱκετεύει τὸν ἔλεον αὐτοῦ, ὃν ἐπεδείξατο ἐν τῇ ἐσχάτῃ οἰκονομίᾳ αὐτοῦ. Ὡς ἂν ἔλεγεν, Ὦ ἅγιε, ὁ Δημιουργήσας τὸν ἄνθρωπον. Ὦ ἅγιε, ὁ ἐπαγγειλάμενος αὐτῷ διαθήκην. Ὦ ἅγιε, ὁ δοὺς αὐτῷ τὴν Διαθήκην (νῦν ἐν τῇ ἐσχάτῃ οἰκονομίᾳ σου) Ἐλέησον (ἢ Σῶσον) ἡμᾶς. Ὅθεν φανερὸν ὅτι ὁ ὕμνος οὗτος πεποίηται, οὐχ ὡς λέγουσι τινὲς εἰς μόνον τὸ πρόσωπον τοῦ υἱοῦ, ἐφ' ᾧ καὶ δικαιοῦσί πως τὴν προσθήκην τοῦ «Ὁ σταυρωθεὶς δι' ἡμᾶς» ἀλλ' ἁπλῶς εἰς τὴν θείαν οὐσίαν τὴν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

θέσπισεν αὐτὸν συνεχέστατον, ὡς καὶ ὁ Le Brun Λεβρὺν εἰκάζει εὐλόγως λέγων Trisagion, quod tunc quidem nec in Constantinopoli, nec in aliis Ecclesiis pluribus canebatur, jam inde ab ecclesiæ incunabulis Hierosolymæ caneretur, ac siminus canebatur tunc primum anno Scil. 446 pro imperatorum ac Episcoporum sanctionibus liturgiis cæteris adderetur « Ὁ Τρισάγιος ὕμνος, ὃς τέως οὔτε ἐν Κωνσταντινουπόλει οὔτε μὴν ἐν ἑτέραις πολλαῖς Ἐκκλητίαις ᾀδόμενος, ἐξ ἀρχῆς τῆς Ἐκκλησίας ἐν Ἱεροσολύμοις ᾔδετο, ἢ γουν σπανίως ᾀδόμενος, τηνικαῦτα δὴ πρῶτον τῷ 446 αὐτοκρατόρων καὶ ἐπισκόπων δόγμασι ἁπάσαις προσετέθη ταῖς λειτουργίαις.» Οὕτω π. χ. ἐν τῇ Λατινικῇ Ἐκκλησίᾳ μόνον ἅπαξ τοῦ ἐνιαυτοῦ τελουμένης τῆς προηγιασμένης τὴν μεγάλην Παρασκευὴν (κατ' αὐτὴν γὰρ καὶ μόνην τελοῦσι ταύτην) ἐν τῇ προσκυνήσει τοῦ σταυροῦ ᾄδεται ὁ ὕμνος οὗτος τρὶς Ἑλληνιστί τε καὶ Λατινιστί. Καὶ αὐτὸ δὲ τὸ Ἑλληνιστὶ ᾄδεσθαι δείκνυσι τὴν μεγάλην τοῦ ὕμνου ἀρχαιότητα εἰσαχθέντος, κατά γε τὸ εἰκὸς, ὁμοῦ μετὰ τοῦ «Κύριε Ἐλέησον». Καί τοι δὲ ἡ γνώμη τῆς νῦν παπικῆς Ἐκκλησίας σύμφωνος τῇ ὀρθοδοξίᾳ, ὅτι δηλονότι ὁ ὕμνος οὗτος ἀναφέρεται εἰς τὴν μακαρίαν Τριάδα, διὰ τὸ ᾄδεσθαι μέν τοι ἐν τῇ ὥρᾳ τῆς Σταυροπροσκυνήσεως, ὡς εἴθισται παρ' αὐτῇ, εἰκάζει ὁ Λεβρὺν, ὅτι δυνατὸν νοηθῆναι καὶ εἰς μόνον τὸ πρόσωπον τοῦ υἱοῦ, κἂν ἐν ταύτῃ τῇ ἡμέρᾳ. Ἀλλ' αὕτη ἡ ἰδέα, εἰμή τις ἀνέχεται αὐτὴν διὰ φιλαδελφίαν πρὸς τοὺς ὀρθὰ μὲν νοοῦντας ἐπταισμένως δὲ λέγοντας, οὐκ ἔῤῥωται, ὄζει δὲ καὶ Κναφείου.

μετὰ τρεῖς οἰκονομίας, ἰδίῳ Ἐλέει σώσασαν ἡμᾶς. Καὶ δοκεῖ ὁ Ὕμνος ποιηθεὶς ἐκ παραλλήλου πρὸς τὸ τοῦ προφητάνακτος (ψαλμ. μά.) «Πρὸς τὸν Θεὸν τὸν Ἰσχυρὸν τὸν Ζῶντα»· καὶ τὸ τοῦ Ἡσαΐου (κεφ. θ'. 7) Θεὸς Ἰσχυρὸς (καὶ τὰ συνώνυμα ἐξουσιαστὴς, ἄρχων Εἰρήνης) Πατὴρ τοῦ μέλλοντος αἰῶνος (*). Ὅθεν εἰκάζεται καί τινας τῶν χριστιανῶν μηκέτι εὐστόχως ἐνίστασθαι εἰς τὴν καθολικὴν τῆς ἐκκλησίας γνώμην, ἀναφέροντας τὸν ὕμνον τοῦτον εἰς τὸ πρόσωπον τοῦ υἱοῦ· οὐκ ἀνεκτὸν γὰρ προσιδιασθῆναι ἢ εἰς τὸν υἱὸν ἢ εἰς τὸ πνεῦμα παρὰ τὸν ἀρχαῖον κανόνα ἄνευ ἀτόπου καὶ μικροῦ κινδύνου, ἵνα ὑποφαίνῃ ἢ συγκεχυμένην ἢ παθητὴν τὴν Τριάδα. Τοῦτο ἀναλογιζόμενος ὁ ὀρθόδοξος τοῦ ῥηθέντος Πέτρου διάδοχος Καλενδίων, ὡς ἄκος ἤπιον τῆς ἅπαξ, ὡς μὴ ὤφελε, παρεισφρησάσης ὑπόπτου προσθήκης ἀνδρὸς δυσσεβοῦς παρεμβαλὼν τὴν φράσιν «Χριστὲ Βασιλεῦ», ὅπως διακόψῃ τὴν μετὰ τῶν τριῶν ἁγίων συνέχειαν τοῦ «ὁ σταυρωθεὶς δι' ἡμᾶς», ἤλπιζε καὶ τὸ κακὸν θεραπεῦσαι ἀταράχως, καὶ τὸν ὀρθόδοξον νοῦν διασῶσαι·

(*) Καί τοι τοῦ ψαλμικοῦ μὴ εὑρισκομένου ἐν τῷ τῆς Ῥώμης Κώδηκι καὶ τῷ Ἀλεξανδρινῷ, οὔτε μὴν ἐν τῇ Ἀραβικῇ μεταφράσει, ὅπου ἁπλῶς φέρεται ظمئت نفس الى الله الحى «Ἐδίψησεν ἡ ψυχή μου πρὸς τὸν Θεὸν τὸν Ζῶντα», ἐπειδὴ ἥτε νῦν Συναγωγὴ ψάλλει לֵאלֹהִים לְאֵל חָי «πρὸς τὸν Θεὸν, πρὸς τὸν Ἰσχυρὸν, τὸν Ζῶντα,» καὶ ἡ Ἐκκλησία ἀνέκαθεν παραλαβοῦσα οὕτω ψάλλει· ἔτι δὲ συμφωνεῖ καὶ πρὸς τὸ τοῦ Ἡσαΐου. Καὶ πάλιν ἐπειδὴ ἄμφω ταῦτα εἰκάζω παρῳδημένα εἰς τὸν τῆς Δημιουργίας Ἐλωῒμ, εἰς τὸν τῆς ἐπαγγελίας ΕΛ ἢ ΣεΔαΙ καὶ εἰς τὸν τοῦ Νόμου ΙεΧοΥαΧ. Καὶ ἐπειδὴ ὑποτεύω, ὅτι οἱ Ο'. καί τοι τὸ ἐν τῇ Ἐξόδῳ אֵל, οὗ τὴν σημασίαν ἡ Ἰουδαϊκὴ ἔκδοσις περιορίζει τῇ ἐπεξηγήσει, שַׁדַּי διὰ τοῦ Ἰσχυρὸς ἢ Ἱκανὸς, ἁπλῶς διὰ τοῦ Θεὸς ἑρμηνεύσαντες, ἐνταῦθα τὸ אֵל ὃν ἐπὶ σημασίᾳ τοῦ שַׁדַּי διὰ τοῦ Ἰσχυρὸς ἐξήνεγκον· διὰ τοῦτο τὸ ἐν τῇ Ἐκκλησίᾳ «πρὸς τὸν Θεὸν τὸν Ἰσχυρὸν, τὸν Ζῶντα,» καὶ ὀρθῶς ἔχειν μοι δοκεῖ, καὶ τοῦ Τρισαγίου ὕμνου συνώνυμον, καὶ δὴ καὶ τὰς τρεῖς τοῦ Θεοῦ μεγάλας οἰκονομίας καὶ εὐεργεσίας πρὸς τὸν ἄνθρωπον: τουτέστι τὴν Δημιουργίαν, τὴν Ἐπαγγελίαν καὶ τὴν Νομοδοσίαν αἰνιττόμενον. Καὶ τὸ τοῦ Ἡσαΐου δὲ οὐχ ὁμοίως κεῖται παρὰ πᾶσι. Τὸ γὰρ Ἰουδαϊκὸν φέρει μέν πως ταὐτὰ, ἅπερ καὶ οἱ Ο'. ὅμως δὲ προθυστέρως ἤτοι וַיִּקְרָא שְׁמוֹ פֶּלֶא יוֹעֵץ אֵל גִּבּוֹר אֲבִי־עַד

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

τότε γὰρ ὁ ὕμνος καὶ εἰς τὴν Παναγίαν Τριάδα κοινῇ ἀναφερόμενος ὀρθοτομεῖται, καὶ εἰς τὸν υἱὸν ἰδίᾳ ἀνεκτὸς, καὶ δὴ καὶ ἐπικοίνως οὐδὲν ἔχει τὸ ἄτοπον. Πλὴν ἀλλὰ πᾶς λόγος ἢ λέξις ἢ συλλαβὴ ἢ γράμμα παρὰ τὴν καθολικὴν προστιθέμενα τῆς Ἐκκλησίας παραδοχὴν, καί τοι εὐπροσωπισθῆναι δυνάμενα, ἐπίμομφα εἰς ἀεὶ ἐνδίκως καὶ ἐπιλήψιμα λογιστέα, ὡς ταραχὴν καὶ σχίσματα ἐν οὐ δέοντι καὶ ἄνευ ἀνάγκης ἐμποιοῦντα.

§. 51. Ἐπειδὴ τοίνυν τὸ, «Ἅγιος ὁ Θεὸς» αἶνός ἐστιν ἢ ὕμνος τῆς μακαρίας καὶ ὑπερουσίου Οὐσίας, δικαιοτάτη καὶ πρεπωδεστάτη ἡ μεγάλη παῤῥησία μεθ᾽ ἧς ψάλλεται ἐν ταῖς ἀρχαίαις λειτουργίαις ἁπάντων τῶν ἀνατολικῶν χριστιανῶν, καὶ μάλιστα ἐν τῇ ὀρθοδόξῳ Ἐκκλησίᾳ· πάντα γὰρ τὰ θεῖα ὀνόματα μνημονεύονται· οἷς προστιθεμένου τοῦ ὑπὸ τοῦ διακόνου ἐκφωνουμένου «Δύναμις» ἤτοι צבאות (Ζαβαώθ)· καὶ τὸ ὑπὸ τοῦ ἐπισκόπου «Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ, καὶ ἴδε, καὶ ἐπίσκεψαι τὴν ἄμπελον ταύτην κτλ.» καὶ τοῦ «Κύριε σῶσον» ὁ ὕμνος γίνεται ἰσοδύναμος τοῦ ἐπινικίου, περιέχων, ὡς εἴρηται, καὶ τὰς τρεῖς μεγάλας ἐπωνυμίας (§. 50). Ὅθεν εἰκάζεται πόσον ἐκολόβωσαν τὴν ἱερουργίαν ἅπαντα τὰ δυτικὰ ἔθνη παραμελήσαντα τὸν θεῖον τοῦτον ὕμνον. Οὔθ᾽ ὁ

---

שַׂר שָׁלוֹם «Καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ θαυμαστὸς σύμβουλος Θεὸς Ἰσχυρὸς, Πατὴρ Αἰῶνος (Αἰώνιος), ἄρχων εἰρήνης.» Οἱ Ο΄. πάλιν, ὡς ἀναγινώσκει ἡ Ἐκκλησία, καὶ ὡς οἱ ἀποστολικοὶ πατέρες, ὅ,τε Ἰγνάτιος (Ἐπιστολ. πρὸς Ἀντιοχεῖς) καὶ Εἰρηναῖος κατὰ Αἱρέσεων (Δ. 66)· ἔτι δὲ καὶ Εὐσέβιος (Εὐαγ. Ἀποδ. Ζ.) καὶ αἱ ἐκδόσεις Ἀλδίνη καὶ Κομπλουτεία «Καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος θαυμαστὸς σύμβουλος Θεὸς Ἰσχυρὸς ἐξουσιαστὴς, ἄρχων εἰρήνης πατὴρ τοῦ μέλλοντος αἰῶνος». Ἀλλ᾽ οἱ Γ΄. ἤτοι ὁ Ἀκύλας καὶ Θεοδοτίων καὶ Σύμμαχος, οὐκ ἔχουσι τὸ Θεὸς (ἴσως μετέφρασαν τὸ אל Ἰσχυρὸς, τὸ δὲ גבור ἐξέλαβον ὡς ἑρμηνείαν τοῦ אֵל καθὰ προανεφέραμεν αὐτὸ τοῦτο τὸ אֵל ἑρμηνευόμενον ἐν τῷ Ἰουδαϊκῷ ἀκριβῶς ΣεΔαΙ שַׁדַּי). Ὁ δὲ κῶδηξ τῆς Ῥώμης τὰ ἀπὸ τοῦ θαυμαστὸς ἕως τοῦ μέλλοντος παντάπασι στέρεται· ἐπειδὴ ὅμως ἀνέκαθεν καὶ ἡ συναγωγὴ καὶ ἡ ἐκκλησία ἀναγινώσκουσι συμφώνως, καὶ οἱ ἀποστολικοὶ πατέρες μαρτύρονται Θεὸς Ἰσχυρὸς. . . . αἰώνιος· διὰ τοῦτο καὶ παράλληλον τὸ χωρίον τῷ Δαυϊτικῷ «πρὸς τὸν Θεὸν τὸν Ἰσχυρὸν τὸν Ζῶντα» καὶ συνώνυμον τοῦ ὕμνου «Ἅγιος ὁ Θεὸς κτλ.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ἐπινίκιος ἀναπληροῖ τὴν χρείαν. Οὗτος μὲν γὰρ ᾄδεται ὡς ἐκ τῶν ἀγγέλων, ἐκεῖνος δ' ὡς ἐξ ἀνθρώπων, ἐφ' ὃ προστίθεται ῥητῶς καὶ τὸ « Ἐλέησον ἡμᾶς ».

§. 52. Ὅθεν ἐπῆλθέ μοι μήποτε ἡ μυστικὴ ἐκφώνησις τοῦ θείου ὀνόματος ἐν τῇ ἡμέρᾳ τοῦ ἱλασμοῦ εἰς τὰ ἅγια τῶν ἁγίων ὑπὸ τοῦ ἀρχιερέως ἅπαξ τοῦ ἐνιαυτοῦ ἦν αὐτὸ τὸ «ἅγιος ὁ θεὸς», πειθομένῳ οὐ μόνον ἐκ τοῦ νοήματος τοῦ ὕμνου, ἀλλὰ καὶ ἐκ τῶν τοῦ προφήτου Ἡσαΐου (ς'. 3)· ὃς τρὶς ἐκφωνήσας τὸ Ἅγιος ἐπέφερε τὸ יהוה (Κύριος) ἤτοι קדש קדש קדש יהו׃ Ἅγιος, Ἅγιος, Ἅγιος ΙΕΥΕ (ΙεΧοΥαΧ), ἐν ᾧ ἐδείξαμεν (§. 24) ἐνεῖναι τὸ «Θεὸς, Ἰσχυρὸς καὶ Ἀθάνατος,» συγκαλύπτων οὕτω καὶ εἰς αὐτὰ τὰ τῶν ἀγγέλων στόματα τὴν θείαν ἐκφώνησιν· ἣν ἅπαξ τοῦ ἐνιαυτοῦ ἔνδον τῶν Ἁγίων μόνος ἐξεφώνει ὁ Ἀρχιερεύς. Καὶ αὕτη ἂν εἴη ἡ αἰτία τοῦ ἅπαξ τοῦ ἐνιαυτοῦ ᾄδεσθαι παῤῥησίᾳ ἀρχῆθεν καὶ ἐν μόνῃ τῇ πόλει Ἱερουσαλήμ, ἴσως μόνην τὴν μεγάλην Πέμπτην ἢ Παρασκευὴν, καθ' ἣν ὁ αὐτὸς, εἰσελθὼν ἐφάπαξ εἰς τὰ ἅγια καὶ ἀνάθεμα καὶ θῦμα ὑπὲρ τοῦ κόσμου γενόμενος, τῷ οἰκείῳ αἵματι ἐῤῥάντισε τὴν συνείδησιν ἡμῶν ἀπὸ πονηρῶν ἔργων εἰς τὸ λατρεύειν Θεῷ ζῶντι. Ὅτι δὲ ἡ ἡμέρα τῆς Σταυρώσεως τοῖς γε χριστιανοῖς διεδέχθη τὴν ἡμέραν τοῦ Ἱλασμοῦ τοῦ παλαιοῦ νόμου, καὶ ὁ Γεώργιος Ὅοπερ (G. Hooper) διὰ μακρῶν ἐπιχειρεῖ δεῖξαι ἐν τῷ (Discource concerning Lent. Part. II. repart. II. chap. 3. §. 2.) λόγῳ αὐτοῦ Περὶ τῆς Τεσσαρακοστῆς, ὅπου λέγει that the day of our Saviour's passion was the great and last day of expiation «Ὅτι ἡ ἡμέρα τοῦ πάθους τοῦ σωτῆρος ἡμῶν ἦν ἡ μεγάλη καὶ ἡ ἐσχάτη ἡμέρα τοῦ ἱλασμοῦ.» Ὅθεν ἔμεινεν ἐν τῇ Λατινικῇ Ἐκκλησίᾳ, ἅπαξ τοῦ ἐνιαυτοῦ ἐν τῇ ῥηθείσῃ ἁγίᾳ ἡμέρᾳ ᾄδεσθαι τὸν θεῖον τοῦτον ὕμνον ἑλληνιστί. Τὸ δὲ κατὰ τὴν ἐπὶ Πρόκλου τοῦ ἁγιωτάτου κατασχοῦσαν ἀνάγκην κανονισθὲν ἐν τῇ λειτουργίᾳ, ἥτις ἐςιν ἡ ἱλαστήριος ἀναμνησικὴ τελετὴ τοῦ πάθους τοῦ Κυρίου, διὰ πολλοῦ ᾔδετο καὶ κατὰ πᾶσαν τὴν ἑσπερίαν πρὸ τῶν Ἀναγνωσμάτων ὑπὸ τίτλον (rubrica) Ajus Ἅγιος, καθὰ σημειοῦται ἐν τοῖς ἀρχαίοις λειτουργικοῖς αὐτῶν, ὡς ᾄδεται καὶ νῦν ἐν ἁπάσαις ταῖς ἀνατολικαῖς κοινωνίαις. Ἀλλὰ τέως καινοτομοῦντες τὰ πάντα παρέλιπον καὶ αὐτό.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

§. 53. Ταύτην τὴν τοῦ Ἅγιος ὁ Θεὸς, τοῦ ἀπὸ γεννήσεως ἡμῶν μέχρι θανάτου ἐπᾳδομένου, καὶ πρώτου ὕμνου εἰς Θεὸν ἐν τῇ τρυφερᾷ ἡμῶν καὶ νηπιώδει ἡλικίᾳ διδασκομένου ἐκ στόματος τῶν μητέρων ἡμῶν, ἰδέαν μου ἐπικυροῖ μάλιστα καὶ τὸ ἐν ἑκάστῃ ἡμετέρᾳ προσευχῇ ἔθος τοῦ εὐθὺς μετὰ τὴν εὐλόγησιν τοῦ Θεοῦ ᾄδεσθαι ἀμέσως τοῦτον τὸν ὕμνον, ᾀείποτε τρὶς, προτασσόμενον ἔτι καὶ τοῦ ἀρχαιοτάτου ἐν τῇ καθολικῇ Ἐκκλησίᾳ «Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι»· καὶ εἴη ἂν τοῦ ἄλλου σεβασμίου ὕμνου «Κύριε ἐλέησον» ἤτοι «ΙεΧοΥαΧ ἐλέησον» συνώνυμος, ἢ καὶ τοῦτ᾽ ἂν εἴη ἐκείνου ἐπιτομή τις. Καὶ τοῦτο δὲ τὸ «Κύριε ἐλέησον» ὥσπερ καὶ τὸ Ἀλληλούϊα (§. 23.), καὶ τὸ ΙΕ ἢ יה (§. αὐτ.) καὶ δὴ καὶ αὐτὸ τὸ ΙεΧοΥαΧ (§. 24.), ἀνέκαθεν γνωςὸν ἦν καὶ εἰς αὐτοὺς τοὺς εἰδωλολάτρας, καθὰ βλέπομεν ἀναφερόμενον ὑπὸ τοῦ Ἀῤῥιανοῦ (εἰς Ἐπίκτητ. β′. 7.) «καὶ τὸν Θεὸν ἐπικαλούμενοι δεόμεθα αὐτοῦ, Κύριε ἐλέησον». Ἐξ ὧν ἁπάντων πειθόμεθα τὸ «Ἅγιος ὁ Θεὸς», πηγάζειν ἀπ᾽ αὐτῆς τῆς ὑπερυμνήτου Τετρακτύος יהוה ἢ κάλλιον, εἶναι αὐτὸ τὸ θεῖον ὄνομα ἀνεπτυγμένον. Ὅθεν καί φαμεν τὸν ὕμνον τοῦτον εἶναι θειότατον καὶ θεοπρεπέστατον. Τοιοῦτον καὶ ἐν τῇ παιδικῇ μου ἡλικίᾳ ἤκουον αὐτὸν περιαδόμενον καὶ ὑπὸ τῶν πτωχῶν ἐν τῷ μέσῳ τῶν δρόμων τῆς Πατρίδος μου ᾄσμασι χυδαϊκοῖς μὲν, ὡς δοκεῖ δ᾽ ἀρχαιοτάτοις, ἴσως δὲ καὶ πεποιημένοις κοινῶς κατ᾽ αὐτοὺς τοὺς τοῦ Πρόκλου χρόνους.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Καλῶναι τ᾽ ἅγιος ὁ Θεὸς, καλὸς κι᾽ ὅπου τὸ λέγει,
Ὅ,που τὸ λέγει σώζεται κι᾽ ὅ,που τἀκούει ἁγιάζει,
Κι᾽ ὅ,που τὸ καλωφακρασθῇ παράδεισον θὰ λάβει.
κ.τ.λ. κ.τ.λ.

Ἀλλ᾽ ἐπὶ συγκεφαλαιώσει λόγου ἐπανερχόμενοι, ὅθεν καὶ παρεξέβημεν (§. 49.) εἰς τὴν σημασίαν τοῦ ΕΙ τοῦ ὄντος παιανικοῦ ἐπιφωνήματος ἢ θειασμοῦ ΙΕ (§. 22.) καὶ ἰσοδυναμοῦντος τῷ יה, ἢ ὡς ψάλλει ἡ Ἐκκλησία ΙΑ καὶ σημαίνοντος τὸ τῶν ἀνατολικῶν ياهو ὅπερ ἑρμηνεύεται, ὦ οὗτος, ἢ καὶ ἁπλουστέρως, ὦ Ε, εὑρίσκομεν τῷ ὄντι εὐσεβεστάτην καὶ πρεπωδεστάτην εἰς ἱερὸν ναὸν τὴν ἐπιγραφὴν ΕΙ ἢ ἑλληνικῶς ΙΕ, ὡς τοῦ ἑνὸς καὶ ἀκατονομάςου Θεοῦ ἀξιοπρεπὲς προσαγόρευμα, τὸ ἀλλογλώσσως μὲν καθ᾽ ἡμέραν ἐν

ταῖς θείαις ἐντεύξεσιν ᾀδόμενον ἈλληλούΙΑ, (αἰνεῖτε τὸν Θεὸν), ἑλληνιστὶ δὲ κατ' ἄγνοιαν καὶ εἰς εἰδωλόμορφον θεὸν «ἐλελεῦ, ΙΕ» ᾀσθέν.

§. 54. Ἀλλ' ἤδη προκύπτει καὶ τελευταία ἐρώτησις· Τίς ἆρά γε ὁ τὴν εὐσεβῆ ταύτην ἐκγολάψας ἐπιγραφὴν «ἐν προεδρείᾳ» εἰς τὸν ἐν Δελφοῖς ναόν; βραχὺν τούτου λόγον προβάλλομεν εἰς τοὺς συνετούς, τοὺς φιλονείκους ἡδέως παραιτούμενοι. Τὸ ὄνομα τοῦ Θεοῦ יה ἢ ΙΑ ἢ ΕΙ ἢ ΙΕ οὐ μόνον γνωστὸν ἦν εἰς τὴν εἰδωλολατρείαν, ἀλλ', ὡς ἀπεδείξαμεν, ἀπαραιτήτως ἐμυοῦντο αὐτὸ καὶ εἰς τὰ μυστήρια, ὡς ὄνομα τοῦ ὑπερτάτου ἀληθοῦς Θεοῦ, οὗ ἡ ἀμυδρὰ γνῶσις διεσώθη κατὰ παράδοσιν τῶν μετὰ τὸν κατακλυσμὸν Πατριαρχῶν εἰς ἅπαντα τὰ ἔθνη, καὶ εἰς ὃν δοκεῖ ἀνέκαθεν ἀφιερωθεὶς ὁ ἐν Δελφοῖς ναὸς, μάλιστα ὑπὸ τῶν περὶ τὸν Φαλὲκ פלג ΠΛΓ υἱὸν τοῦ Ἕβερ τρισεγγόνου τοῦ Νῶε, περίπου 200 ἔτη πρὸ τῆς κλήσεως τοῦ Πατριάρχου Ἀβραάμ. Πιθανολογουμένης τῆς ἡμετέρας προτάσεως ἐξ ὑποθέσεως, ὅτι οἱ ΠεΛαΣΓοι, ἢ ὡς διέσωσαν τὸ ὄνομα ἐν Τυῤῥηνίᾳ (Στράβ. βιβ. ε.) ΦαΛίΣΚοι, ἀρχαιότατοι ἐπήλυδες κάτοικοι τῆς Ἑλλάδος καὶ τῆς Ἀρκαδίας, εἰκοτολογοῦνται μὲν ἀπόγονοι τοῦ ΦαΛεΚ, ἐλάτρευον δὲ κατὰ τὸν Ἡρόδοτον (Β. 52) Θεὸν, οὗ οὐδ' εἴδωλον εἶχον, οὐδὲ τὴν κλῆσιν ἐγίγνωσκον· «Ἔθυον δὲ πάντα πρότερον οἱ Πελασγοὶ θεοῖσιν ἐπευχόμενοι, ὡς ἐγὼ ἐν Δωδώνῃ οἶδα ἀκούσας· ἐπωνυμίην δὲ οὐδὲ ὄνομα ἐποιεῦντο οὐδὲν αὐτέων· οὐ γὰρ ἀκηκόεσάν κω·» καὶ δοκεῖ μετὰ χρόνων παρέλευσιν ἀπατηθέντες ἐδέχθησαν ὀνόματα θεοτήτων, ὡς ὁ αὐτὸς αὐτόθι ἀναφέρει, «Τὸ γὰρ δὴ μαντήϊον τοῦτο νενόμισται ἀρχαιότατον τῶν ἐν Ἕλλησι χρηστηρίων εἶναι, καὶ ἦν τὸν χρόνον τοῦτον μοῦνον. Ἐπεὶ οὖν ἐχρηστηριάζοντο ἐν τῇ Δωδόνῃ οἱ ΠεΛαΣΓοὶ, εἰ ἀνέλωνται τὰ οὐνόματα (τῶν θεῶν) τὰ ἀπὸ τῶν βαρβάρων ἥκοντα, ἀνεῖλε τὸ μαντήϊον χρᾶσθαι.» Ἄλλως τε περὶ τοὺς αὐτοὺς χρόνους 2165 πρὸ Χριστοῦ συνεκροτήθη τὸ βασίλειον τῆς Σικυῶνος ἀντικρυζούσης εἰς τοὺς Δελφοὺς κατὰ τὴν περιγραφὴν τοῦ Στράβωνος «ὑποπέπτωκε δὲ τῇ Κίρφει πόλις ἀρχαία Κίῤῥα ἐπὶ τῇ θαλάττῃ ἱδρυμένη, ἀφ' ἧς ἀνάβασις εἰς Δελφοὺς ὀγδοήκοντά που σταδίων, ἵδρυται δ' ἀπάντικρυ Σικυῶνος». Ὁ δὲ μὴ πειθόμενος εἰς τοῦτο ἐχέτω καὶ ἑτέραν γνώμην πιθανωτάτην.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

§. 55. Οἴδαμεν τοὺς περιοίκους τῶν Ἑβραίων καὶ μάλιστα τοὺς Φοίνικας σφετεριζομένους τὸ ὄνομα τοῦ ἀληθινοῦ Θεοῦ (ὅρα Ἀπόσπασμ. Σαγχονιάθου ἐκδοθὲν ὑπὸ τοῦ Court de Gebelin ). Οὗτοι τοίνυν εἰς τὰς ἀρχαιοτάτας αὐτῶν ἀποδημίας καθ' Ἑλλάδα ἔκτισαν καὶ καθιέρωσαν τὸν ναὸν εἰς τὸν Θεὸν יה ΕΙ. Εἰκοτολογεῖται δὲ ὅτι ἀνατολικοὶ ἢ Φοίνικες ἄνδρες καθιέρωσαν ἐξ ἀμνημονεύτων αἰώνων τὸν Ναὸν καὶ ὡς ἐκ τοῦ Ε τοῦ τέως μήπω μεταβάντος ἐν τάξει φωνήεντος, ἀλλ' ἀκμὴν ὄντος ὑπουργικοῦ γράμματος, δουλεύοντος καὶ ὡς α. φωνῆεν, καὶ ὡς ε. φωνῆεν, καὶ ὡς ο. φωνῆεν, ὡς δὴ καὶ τὸ Ἑβραϊκὸν ה. Καὶ ἦ τοιοῦτον τὸ ΑΙ σὺν τῷ ΙΕ (§. 23) καὶ τῷ ΕΙραφιώτης (§. 13), ἔτι καὶ τὸ ΙΗ εἶεν ἂν τὰ μόνα λείψανα ἐν τῇ Ἑλληνικῇ ἀρχαιογραφίᾳ, ἐξ ὧν ἔγωγε οἶδα. Ταῦτα πιθανολογοῦνται καὶ ὡς ἐκ τῆς πληθυντικῆς μορφῆς τοῦ ὀνόματος Δελφοί· ὅπερ εἰς τὴν ἀραβικὴν καὶ μεσοπαμικὴν γλῶσσαν, εἰκότως καὶ εἰς τὴν Φοινικικὴν, συγγενῆ μὲν ἐκείνης, ταὐτὴν δέπως τῇ Ἑβραΐδι «Τὴν Φοινικικὴν γλῶσσαν καὶ Πυνικὴν συγγενῆ ἐκ τοῦ πλησίον τῇ Ἑβραΐδι γεγονέναι» (Βοχάρτος Ἱερ. Γεωγρ. Βιβλ. ΙΙ. κεφ. 1.) σημαίνει ΠΛαΤανον دلب ΔΛΒΕ, καὶ τοιαύτη ΠΛάΤανος εὑρίσκετο καὶ ἐδεικνῦτο σεβάσμιος, ὡς παντάπασιν ἀρχαιότατον φύτευμα ἐν ΔεΛΦοῖς κατὰ τοὺς χρόνους τοῦ Πλινίου περὶ τὰ μέσα τοῦ ά. αἰῶνος· λέγει παραλαβὼν γὰρ ἐκ τοῦ Θεοφράστου ( β. 45. Φυτ. Δ΄. 13. 2.) (ἐν Βιβ. ΙΖ΄. κεφ. μδ΄.) Sunt autores et Delphicam platanum Agamemnonis manu satam, «Εἰσὶν οἳ τὴν Δελφικὴν Πλάτανον ὑπὸ τῆς Ἀγαμέμνωνος χειρὸς φυτευθεῖσαν γράφουσιν». Ἴσως οὔτε παντάπασι κατὰ σύμπτωσιν τὰ ῥιζικὰ σύμφωνα τῆς λέξεως ΠΛαΤάνου ἀναγραμματιζόμενα παχυστόμως ἔθει ἀσιατικῷ ἀποδιδοῦσι τὸ ὄνομα ΔεΛΠοὶ ἢ ΔεΛΦοί.

Φθάσας τὸ τέλος τοῦ σχεδιάσματος, εὔλογον κρίνω διαλῦσαι πιθανάς τινας ἀντιλογίας, φυομένας ἐξ αὐτῆς τῆς τῶν πραγμάτων φύσεως. Καὶ πρῶτον τὴν ἐκ μέρους ἐκκλησιαστικῶν τινων, ξένων εἰς τὰ ἀρχαιολογικὰ τῆς φιλολογίας θεωρήματα, σκανδαλιζομένων ἴσως διὰ τὴν παραγωγὴν τῶν ὀνομάτων ἑλληνικῶν Θεοτήτων ἐκ τῶν ὀνομάτων τοῦ ἀληθινοῦ Θεοῦ· καὶ ἴδε εἴπως σύντομον καὶ βεβαίαν ἀπολογίας ὁδὸν προειλόμην. Ὡμολόγηται γὰρ, ὡς δὴ καὶ δέ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

δεικται τὰ τῶν ἐθνικῶν θεῶν ὀνόματα καὶ κατὰ λέξιν καὶ κατὰ σημασίαν θαυμαστὸν ὅσον συνᾴδοντα τοῖς θείοις ὀνόμασιν (§. 40)· ὅπερ οὐδεὶς ἄνευ κινδύνου παχυλῆς ἀμαθείας καὶ ἀνιδεότητος τῆς ὑποθέσεως δύναται ἀρνηθῆναι. Τοῦτο τοίνυν ἢ ἁπλοῦν τυχαῖόν ἐςιν ἢ μίμησις· καὶ εἰ μὲν τὸ πρῶτον πάντως οὐκ ἄνευ θείας οἰκονομίας, ἴσως ἵνα μὴ μείνωσι τὰ ἔθνη ἐν παντελεῖ σκότει, καὶ προοικονομηθῇ πως τὸ Εὐαγγέλιον· κατὰ τοῦτο οὖν δικαιοτάτη καὶ ἐλλογωτάτη ἡ ἔφοδος τῆς παρούσης ἑρμηνείας. Εἰ δὲ τὸ δεύτερον, ὅπερ καὶ ἀληθὲς, ζητέτον τίς τινα ἐμιμήθη· καὶ εἰ μέν τις εἴποι, ὡς οἱ ἀπ' αἰῶνος μονοθεϊκοὶ ἐμιμήθησαν τοὺς πολυθέους δίκαιον ἀποδεῖξαι, ὅτι οὐχ οὕτω. Εἰ δὲ πάλιν οὗτοι ἐκείνους, ὃ δὴ καὶ πανάληθες· τί τὸ κωλύον ἀναγαγεῖν μὲν τὰ παράγωγα εἰς τὰ πρωτότυπα, καὶ τὴν πληθὺν εἰς τὴν ἀρχαίαν αὐτῆς θεοπρεπῆ ἑνότητα, ἀναδεῖξαι δὲ καὶ νέας ὁδοὺς Εὐαγγελικῆς Προπαρασκευῆς τε καὶ Ἀποδείξεως τὴν Ἀρχιερωσύνην Μελχισεδὲκ, καὶ τὰ αὐτῆς μυστήριά τε καὶ ἱερωσύνην, καταργηθέντα μὲν κατὰ θείαν οἰκονομίαν ἐν τῇ περιτομῇ καὶ τῷ νόμῳ Μωσέως, τῷ καὶ αὐτῷ καταργηθέντι ἐν τῷ νόμῳ τῆς χάριτος, παραμορφωθέντα δ' ἐν τῷ σκότει τῆς δεισιδαίμονος πολυθεΐας; ἄλλως τε καὶ ἐρωτῶ διὰ τί, κατ' αὐτοὺς τοὺς ἀποστολικοὺς χρόνους συνεχωρεῖτο παραγαγεῖν πᾶσαν τὴν ἑλληνικὴν σοφίαν ἀπὸ τῆς Ἰουδαϊκῆς, καθὰ βλέπομεν ἐν τῷ ἱερῷ Κλήμεντι, ὡς καὶ ἐν τῷ πρὸ αὐτοῦ Φίλωνι; ἔτι δὲ καὶ κατὰ τοὺς ἐνδόξους χρόνους τῆς Ἐκκλησίας τό δ' αὐτὸ συνεχωρήθη εἰς τὸν πολυμαθῆ καὶ ἐκπρεπῆ Εὐσέβιον· διὰ τί ἆρά γε ἀποκλεισθήσεταί μοι παντάπασιν ἡ θύρα τῆς ἀδείας ταύτης; διὰ τὸ ἀσθενές μου εἰς τοιαύτην πάλην; ἀλλ' ἔστω τοῦτο ἁπλῆ πρόκλησις ἰσχυροτέρων εἰς τοιοῦτο ςάδιον. Καὶ τέλος, ἐπειδὴ πιστεύομέν τε καὶ ὁμολογοῦμεν μόνον τὸν ἀληθῆ Θεὸν ἀρχῆθεν λατρευθέντα, τὴν δὲ Πολυθεΐαν, ὡς καὶ ἔνι, παραμόρφωσιν τοῦ ὄντος, καὶ φαντασιώδη ἐπίπλασιν πολλῶν εἰκαίων, ἐπὶ τῇ εἰκονικῇ ἐκφράσει καὶ ἱερογλυφικῇ ἐκτυπώσει τῆς ἀληθείας, τίς ὁ ἰσχυριζόμενος, ὅτι πάντη πάντως οὐκ ἐσώθη κατὰ παράδοσιν ἡ θεία ὀνοματολογία; ἢ τίς τολμᾷ δεῖξαι μὲν ἐρείπια, ἀρνηθῆναι δὲ τὰ ἐν τῇ ὕλῃ εὐδιάγνωστα τμήματα εἶναι τῆς ἀρχαίας οἰκοδομῆς; καὶ ἐπὶ παραδείγματος δουλεύοντος τῇ ἡμετέρᾳ ὑποθέσει, τίς ὁρῶν

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

προεδρεῦον ἐν τῷ Δελφικῷ ναῷ τὸ ΕΙ καὶ χαλδαϊστὶ יה ἢ καὶ ΙΑ δύναται ἀρνηθῆναι οὐ χωρὶς ὕβρεως τῆς ἀληθείας αὐτὸ εἶναι τὸ ὄνομα τοῦ Θεοῦ, ὃν ἑκάστης εὐσεβῶς ὑμνοῦμεν ἐν τῷ Ἀλληλούϊα; εἰδέπως ἡ δυσσέβεια καὶ τὸ δεισιδαῖμον πολλὰ ἐφῆψεν ἄτοπα καὶ ἀνόητα, οὐδὲν πρὸς ἔπος, οὐ γὰρ μειοῖ τὴν ἁγιότητα αὐτοῦ, οἵα τετήρηται παρ' Ἑβραίοις· ἡλίκα γὰρ ἄτοπα οἱ αἱρετικοὶ οὐκ ἐφήρμωσαν εἰς τὸ ὄνομα τοῦ Χριστοῦ, ἀλλ' οὐκ ἐκ τούτων παρεβλάβη ἡ ἐν ἡμῖν ἀλήθεια· ἢ τάχα ἔλαττον ἐδόλωσαν οἱ αὐτοὶ αἱρετικοὶ τὸ μυστήριον τῆς θείας ἱερουργίας, ἀνοσιουργοῦντες μέχρι καὶ τοῦ τελεῖν αὐτὴν ἀνθρωπείῳ αἵματι· (*) ἀλλὰ μὴ παρὰ τοῦτο λώβη τις ἐγένετο εἰς τὴν καθολικὴν πίστιν; ἢ μὴ οὐχὶ καὶ τοῦτο τὸ ἀνοσιούργημα πιστοῖ ἀληθινὴν τὴν ἡμετέραν δόξαν καὶ πίστιν τοιαύτην οὖσαν ἀπ' ἀρχῆς τοῦ κηρύγματος περὶ τῆς ἐν τῷ μυστηρίῳ εἰς αἷμα καὶ σάρκα μεταβολῆς τοῦ ἄρτου καὶ τοῦ οἴνου κατὰ τῶν ἀρνουμένων τοῦτο;

Μετὰ τὴν πρώτην ἀντιλογίαν εἰκὸς θεῖναι ὑπ' ὄψιν καὶ τὰς ἐκ τῶν φιλολογικώτερον θεωρούντων τὴν ὑπόθεσιν· ἀλλὰ δι' αὐτοὺς ἡμεῖς, καὶ σποράδην μὲν ἤδη δεικνύομεν, ἴσως δὲ καὶ ἰδίᾳ πραγματευθησόμεθα, ὅτι ἀναμφιλέκτως οἱ ἐθνικοὶ ἢ ἐμμέσως ἢ ἀμέσως παρὰ τῶν Ἑβραίων, ἀλλ' οὐχ οἱ Ἑβραῖοι παρὰ τῶν ἐθνικῶν ἔλαβον πάμπολλα τῆς πίσεως. «Τὰ περὶ εὐσεβείας ΕΝΟΣ τοῦ περὶ πάντων θεοῦ, λέγει καὶ ὁ Εὐσέβιος (Προπαρασκ. Εὐαγγελ. Ι. ά) τά τε περὶ τῶν μάλιστα ζητουμένων εἰς ψυχῆς ὠφέλειαν δογμάτων, ἃ δὴ καὶ συνεκτικώτατα γένοιτ' ἂν τῶν ἐν φιλοσοφίᾳ λόγων, οὐκ ἄλλοθεν εἶεν ἄν, ἢ παρὰ μόνων Ἑβραίων πεπορισμένοι.» Τὰ δὲ κεφάλαια τῆς δείξεως ταῦτα.

Ά. Ἱστορικῶς οὐδεμίαν ἔχομεν μαρτυρίαν, ὅτι οἱ Ἑβραῖοι ἐλάτρευον θεὸν ὠνοματισμένον, ἢ ποτ' ἔσχον μορφὴν ἢ τύπον αὐτοῦ (εἰ μὴ εἴποις τὰς κατὰ καιροὺς καὶ ἐν μέρει ἐξωμόσεις αὐτῶν). Διὸ

(*) «Μυοῦνται δέ τινα κατακεντοῦντες νέον παῖδα ῥαφίσι χαλκαῖς, ὥσπερ οἱ Καταφρυγαστῶν· καὶ τὸ αἷμα αὐτοῦ ἀλεύρῳ φυράσαντες καὶ ἀρτοποιήσαντες προσφορὰν μεταλαμβάνουσιν» (Eccles. Græcæ monum. Tom. I. a Joh. Bap. Cotelario). Ὅθεν καὶ ὁ Ἱερώνυμος λέγει ἐπ' αὐτό. Diabolicum edunt Eucharistiæ feralcissimæ sacramentum. «Διαβολικὴν ἐσθίουσι θηριωδεστάτης εὐχαριστίας μυσταγωγίαν.»

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

καὶ ὁ Λευκανὸς ἐπικὸς ποιητὴς Λατῖνός φησι ( Lucan Farsal. L. II. )

. . . . . et dedita sacris — καὶ ἡ θρησκεύουσα
incerti judæa Dei — Θεῷ Ἰουδαία ἀγνώστῳ.

Β΄. Ὁ Μωσαϊκὸς νόμος, δῆλον δ᾽ ὡς καὶ τὰ πρὸ αὐτοῦ καθεςῶτα, φρικτῶς ἀπαγορεύει τὴν μετὰ τῶν ἐθνῶν ἐπιμιξίαν, ἢ τὴν αὐτῶν μίμησιν· ἀπαγορεύει δὲ καὶ κεφαλικῇ τιμωρίᾳ τὸν ἀριθμὸν ἢ τὴν πληθὺν ἐν τῇ θεότητι, καὶ δὴ καὶ τὴν τῶν ξένων θεῶν καὶ καινῶν ἱερῶν εἰσαγωγήν· ἐν ᾧ οἱ ἐθνικοὶ καὶ παρεδέχοντο, καὶ ἀνάγκη ἦν παραδέχεσθαι τοὺς θεοὺς καὶ τὰ ἱερὰ τῶν λοιπῶν ἐθνῶν.

Γ΄. Ὅτι ἀπὸ Νῶε μέχρι τοῦ Πατριάρχου Ἀβραὰμ ἦν τις ἱερωσύνη, ὡς ὁρῶμεν εἰς τὸ πρόσωπον τοῦ Μελχισεδὲκ, τελετάς τινας ἔχουσα καὶ ἱερουργίαν ἐν ἄρτῳ καὶ οἴνῳ (*) κατὰ παράδοσιν ἢ ἐγγράφως σωθείσας ἀεὶ εἰς τὸν αὐτὸν θεὸν τὸν ἛΝΑ τὸν Ὕψιστον τὸν ἀκατονόμαστον, τὸν μήτε μορφὴν μήτε εἶδος ἔχοντα. Ἐκ ταύτης τῆς κατὰ Μελχισεδὲκ Ἱερωσύνης ἐπιγράφει καὶ ὁ μακάριος Παῦλος ἐν τῇ πρὸς Ἑβραίους, λέγων ὅτι ἡ αἰωνία ἱερωσύνη ἐστὶ «κατὰ τὴν τάξιν Μελχισεδὲκ» ἐν ἄρτῳ καὶ οἴνῳ τὴν προσφορὰν ποιοῦσα, καὶ οὐχὶ κατὰ τὴν τάξιν Ἀαρὼν ἐν αἵματι ταύρων καὶ τράγων καὶ σποδῷ δαμάλεως. Διὸ ἀναγωγικῶς μέχρι τοῦ Νῶε, καὶ δὴ καὶ πρὸ αὐτοῦ μέχρι τῶν ἀπογόνων τοῦ Ἀδάμ. Εἷς Θεὸς ἦν ὁ λατρευόμενος τῇ διαδοχῇ τῶν προπατόρων, καί τοι τῶν ἐθνῶν ἐν τοῖς ὕστερον πολλοὺς καὶ ποικίλους σχόντων τοὺς θεοὺς, ὡς μαρτυρεῖται ἐκ τῆς ἱστορίας.

Δ΄. Ὅτι τὰ ἀπαριθμηθέντα ἐν τῇ Γραφῇ θεῖα ὀνόματα, καὶ δι᾽ ὧν προσαγορεύεται ὁ ἀληθὴς θεὸς ὁρῶμεν καὶ παρ᾽ Ἕλλησιν ἐν μυ-

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

---

(*) Καί τοι ἐν τοῖς νῦν φερομένοις ἀντιγράφοις καὶ Κώδηξι τῆς τῶν Ο΄. μεταφράσεως φερομένου τοῦ χωρίου κατὰ πληθυντικὸν ἀριθμὸν «ἄρτους καὶ οἶνον» πλὴν ἀλλ᾽ ἡ Ἰουδαϊκὴ τῆς Μασώρας φέρει ἑνικῶς הוֹצִיא לֶחֶם וָיָיִן « Προσήνεγκεν ἄρτον καὶ οἶνον»· ὅτι δὲ ἡ προσφορὰ αὕτη ἦν τελετή τις εὐχαριστήριος καὶ ἐπινίκειος δηλοῦται πάλιν ἐκ τοῦ αὐτοῦ γραφικοῦ χωρίου, ἐπιφέρει γὰρ, ὅτι ὁ προσαγαγὼν «ἦν ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου.» Καθ᾽ ἣν ἱερωσύνην ἱερούργησε καὶ ὁ κατὰ τὴν τάξιν Μελχισεδὲκ ἀρχιερεὺς γενόμενος ὁ Κύριος ἡμῶν ἐν τῇ κατὰ τοῦ διαβόλου νίκῃ.

στηρίοις (§. 22) ὡς ἱερώτατα ἀναφερόμενα· οὐδ' ἂν εἴποις, ἐπειδὴ τῶν τοιούτων μυστηρίων τὰς τελετὰς κατὰ τὰ ἱστορούμενα παρ' Ἰνδῶν παρέλαβον, ἰνδικὰ εἶναι καὶ τὰ ὀνόματα, αὐταὶ γὰρ αἱ λέξεις ἐλέγχονται ἀληθῶς οὖσαι Ἑβραϊκαὶ ἢ γλώσσης τῆς περὶ Μεσοποταμίαν, καὶ οὐκ ἰνδικαί· ὅπερ μάλιστα δείκνυσι καὶ τοὺς Ἰνδοὺς αὐτοὺς παρὰ τῶν πρὸ τοῦ Νόμου πατέρων, ἢ καὶ τῶν πρὸ τοῦ Ἀβραὰμ παραλαβόντας τὰ ὀνόματα, καὶ ἐγκαταμίξαντας ἰδίας δεισιδαιμονίας. Μαρτυρεῖ δ' ὁ Φιλόστρατος (Βίῳ Ἀπολ. Τυαν. Β'. 4.) τὰ λεγόμενα· «Ἰνδῶν δ' οἱ περὶ Καύκασον καὶ Κωφῆνα ποταμὸν, ἐπηλύτην αὐτὸν (τὸν Διόνυσον ἢ τὸν Βρόμιον: ὅ ἐστι τὸν Βράμαν) Ἀσύριόν φασιν ἐλθεῖν·» ἐφ' ὃ καὶ ὁ Βοχάρτος ( Geograph. Sacræ Lib. I. c. 18. ) «ἔχομέν, φησι, τοὺς Ἰνδοὺς συμμαρτυροῦντας, οὐ γὰρ ἐξ Ἑλλάδος, ἀλλ' ἐξ Ἀσσυρίων παραγενέσθαι αὐτοῖς τὸν Βάκχον ἱστοροῦσι ».

Έ. Ἐπειδὴ τὰ τῆς πολυθεΐας ὀνόματα ἐξεταζόμενα κατὰ τὴν ἀληθῆ παραγωγὴν αὐτῶν κατάντησε σημαίνειν ἘΝ καὶ μόνον ΘΕΙον, διὰ τοῦτο δοκοῦσι τὴν ἀρχὴν εἰς ἕνα τὸν μόνον Θεὸν δοθέντα, καὶ εἰδωλικῶς, εἴτ' οὖν ἱερογλυφικῶς ἕνα Θεὸν ὑποτυπώσαντα, χρόνῳ δὲ δι' ἄγνοιαν, ἐκληφθέντα ὡς ὀνόματα χωριστῶν θεοτήτων· ἀλλ' ἡμεῖς οὐδὲν τῶν ἀρχαίων ἐθνῶν γνωρίζομεν μονοθεϊκὸν, πλὴν τὸ τῶν Ἑβραίων, ὡς καὶ τὴν σήμερον τὰ ἕνα θεὸν δοξάζοντα ἔθνη τὴν αὐτὴν σειρὰν τῶν μονοθεϊκῶν πατριαρχῶν σέβονται, καὶ ὑπάγονται εἰς τὰς τρεῖς μεγάλας ἐπιφανείας τοῦ Θεοῦ (§. 50). Ἄρα καὶ τὰ ὀνόματα ἐκ τῶν Ἑβραίων ἐλήφθησαν.

Ϛ'. Πρὶν τῆς ἐλεύσεως τοῦ Ἰησοῦ Χριςοῦ πάντα τὰ ἔθνη, ὡς ἐκ τῆς φύσεως τῆς πολυθεΐας ἦν ὁμόπιςα καὶ οὐ μόνον οὐ κατεδίωκον ἄλληλα ἐπὶ θρησκευτικῇ αἰτίᾳ, ἀλλ' ἀναγκαίως καὶ σέβεσθαι ὤφειλον τοὺς θεοὺς τῆς γῆς, ἐν ᾗ ἂν εὑρίσκοντο· μόνοι οἱ Ἑβραῖοι ἦσαν ξένοι μεταξὺ τῶν ἐθνῶν, καὶ τὰ καθεστῶτα αὐτῶν παντάπασιν ἰδιόρρυθμα, καὶ μόνοις αὐτοῖς προσιδιάζοντα παρὰ τῶν ἐθνικῶν μαρτυροῦνται. «Κεχωρίδαται δὲ (οἱ Ἰουδαῖοι) ἀπὸ τῶν λοιπῶν ἀνθρώπων εἴςτε τἄλλα τὰ περὶ τὴν δίαιταν πάνθ', ὡς εἰπεῖν, καὶ μάλισθ' ὅτι τῶν μὲν ἄλλων θεῶν οὐδένα τιμῶσιν, ἕνα δέ ΤΙΝΑ ἰσχυρῶς σέβουσιν· οὐδ' ἄγαλμα οὐδὲν ἐν αὐτοῖς ποτε τοῖς Ἱεροσολύμοις ἔσχον· ἄρρητον δὲ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

δὴ καὶ ἀειδῆ αὐτὸν νομίζοντες εἶναι, περισσότατα ἀνθρώπων θρησκεύουσι.» (Δίων Κάσ. Ῥωμ. Ἱστ. λζ.) Διὸ καὶ ὁ Τάκιτος (Βιβλ. Ε. Lib. V.) Profana, λέγει, illic omnia quæ apud nos sacra, rursum concessa apud illos quæ nobis incesta. «Βέβηλα μὲν παρ' αὐτοῖς τὰ παρ' ἡμῖν ἱερὰ ὄντα, τὰ δ' αὖ παρ' ἡμῖν ἀθέμιτα θεμιτὰ παρ' αὐτοῖς». Ὅθεν ἐπιλέγει περὶ τῶν Ἰουδαίων genus hominum invisum Diis «γένος ἀνθρώπων τοῖς θεοῖς βδελυκτόν». Καὶ πάντως μόνος ὁ Θεὸς αὐτῶν, ὡς ὢν μόνος Θεὸς, ἀπήτει ἀπαραιτήτως τὴν τῶν λοιπῶν θεῶν κατάργησιν ὑπὸ τῶν πιστῶν αὐτοῦ. «Οὐ προσκυνήσεις τοῖς θεοῖς αὐτῶν, οὐδὲ λατρεύσεις αὐτοῖς, οὐ ποιήσεις κατὰ τὰ ἔργα αὐτῶν· ἀλλὰ καθαιρέσει καθελεῖς αὐτοὺς, καὶ συντρίβων συντρίψεις τὰς στήλας αὐτῶν, καὶ λατρεύσεις Κυρίῳ τῷ Θεῷ σου (Ἔξοδ. κγ'. 24). Καὶ πάλιν, «ἐπιφανήσεται Κύριος ἐπ' αὐτοὺς καὶ ἐξολοθρεύσει πάντας τοὺς θεοὺς τῶν ἐθνῶν τῆς γῆς, καὶ προσκυνήσουσιν αὐτῷ ἕκαστος ἐκ τοῦ τόπου αὐτοῦ» (Σοφον. Β. 11)· ὃ δὴ καὶ σημεῖον μονοθεΐας.

Ταῦτα τοίνυν ἅπαντα δεικνῦσι τό τε εὔκολον ὅπως τὰ λοιπὰ ἔθνη παραλάβωσι τὰ τῶν Ἑβραίων ἱερὰ, καὶ τὸ δύσκολον, ἵνα οἱ Ἑβραῖοι παραλάβωσι τὰ τῶν ἐθνῶν· ἂν δέ τις εἰς ταῦτα προσθῇ καὶ τὰς λέξεις αὐτὰς ἑβραϊκὴν μὲν ἐχούσας παραγωγὴν καὶ τύπον, μίαν δὲ καὶ τὴν αὐτὴν ἐπιθετικῶς σημαινούσας θεότητα, οὐδεμία ἀπολείπεται ἀμφιβολία τὰ θεῖα ὀνόματα ἐκ τῆς μονοθεΐας τῶν πρὸ νόμου καὶ τῶν πρὸ τῆς ἐπαγγελίας, καὶ δὴ καὶ τῶν μετὰ τὸν Νόμον πατέρων πηγάσαντα, τῇ μὲν παρεφθαρμένως, τῇ δὲ παρερμηνευτικῶς διαδοθῆναι εἰς πάντα τὰ ἔθνη, καὶ συμμιγῆναι τοῖς αὐτῶν ἱεροῖς καὶ μυστηρίοις.

Δευτέρα ἀντιλογία φιλολογική· ὅτι ἐν τῇ ἑρμηνείᾳ τῶν ὀνομάτων προσέδραμον εἰς ἀραβικὰς παραγωγάς. Ἀλλ' οἱ εἰδότες τὴν τῶν δύο γλωσσῶν, οὐκ ἂν εἴποιμι συγγένειαν, ἀλλὰ ταὐτότητα, καὶ γνωρίζοντες τὸ ἱστορικὸν τοῦ Πατριάρχου Ἀβραὰμ καὶ τῶν μετ' αὐτὸν ἢ πρὸ αὐτοῦ, δικαιώσουσι μάλιστα τὸν λόγον μου· αὐτὸς γὰρ ἐν Μεσοποταμίᾳ ζήσας πολὺν χρόνον, πολλὰ θεῖα ὀνόματα παρέδωκεν εἰς τοὺς μεταγενεστέρους κατὰ τὸ ἐκεῖ ἰδίωμα, ὅπερ ἦν ἐν χρήσει καὶ εἰς τοὺς πρὸ αὐτοῦ. Οἱ δὲ περὶ τὸν Πατριάρχην Ἰακὼβ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

οἰκήσαντες τὰ κατὰ Φοινίκην καὶ Σαμάρειαν, τὸ μεσοποταμικὸν ἰδίωμα ἐν πολλοῖς συγκατέμιξαν τῷ Φοινικικῷ. Καὶ πάλιν τόσους χρόνους ἐν γῇ Αἰγύπτου, καὶ τεσσαράκοντα ἐν τῇ ἐρήμῳ τῆς Ἀραβίας, τέλος δὲ οἰκήσαντες τὴν Παλαιστίνην, οὐκ ὀλίγα καὶ παρήλλαξαν, καὶ ἐμιμήθησαν, καὶ συγκατέμιξαν διὰ τὴν θαυμασίαν τῶν ἰδιωμάτων γειτνίασιν, καὶ μάλισθ᾿ ὅτι καὶ τὸ διὰ γραπτῆς γλώσσης βοήθημα ἐπὶ καθαρότητι καὶ διατηρήσει λέξεως ἐλάχιστον ἦν· ὅπερ ὁρῶμεν ἐν τοῖς συγγράμμασι τοῦ Δανιὴλ καὶ Νεεμία καὶ Ἔσδρα ὅτι πεπόνθασιν ἐν Βαβυλῶνι κατὰ τὴν ὀλιγοχρόνιον ἐκεῖ διατριβήν· καίτοι τότε ἔχοντες οἱ Ἑβραῖοι γλῶσσάν τε συνεστηκυῖαν καὶ συγγράμματα καί, ὅπερ μέγιστον, τὸν Νόμον αὐτόν. Ταύτην δὲ τὴν ἀδελφότητα τῶν γλωσσῶν καὶ ὁ Ἀλίβερτος Σχύλτενς (Alib. Schultens) κατ᾿ ἐναντίον εἰκάζει τρόπον ἐν τοῖς προλεγομένοις τῆς ὑπ᾿ αὐτοῦ ἐκδόσεως τοῦ Ἰὼβ εἰς τόμους δύο, λαλῶν περὶ τῆς γλώσσης, ἐν ᾗ γέγραπται τὸ βιβλίον, Dialectum arabicam tum temporis haud multum ab Hebraea fuisse diversam «οὔπω γὰρ τόθ᾿ ἡ ἀραβὶς τοσοῦτο διέφερε τῆς Ἑβραΐδος»· διὸ τὸ ἀπαιτεῖν καθαρεύοντα πάντα τὰ ὀνόματα κατὰ τὸ ἔσχατον ἰδίωμα, οὐ τοῦ εἰδότος τὴν τῶν πατριαρχῶν ἱστορίαν.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τρίτη ἀντιλογία φιλολογική. Ἡ τῆς τῶν Ἑλληνικῶν ὀνομάτων ἐκ τῶν ἀνατολικῶν μεταπλασμοῖς τισι παραγωγῆς· ἀλλ᾿ οἱ πολύγλωττοι οἴδασιν, ἡλίκον αἱ διεστηκυῖαι δοκοῦσαι γλῶσσαι γειτνιάζουσιν, εἴτις γράμματά τινα κατά τε ἰδίωμα καὶ χρείαν παρεισάγει τε καὶ παρεκθλίβει. Διὸ καὶ ὁ Πλάτων ἐν Κρατύλλῳ «Ποικίλλειν ἔξεστι ταῖς συλλαβαῖς, λέγει, ὥστε δόξαι ἂν τῷ ἰδιωτικῶς ἔχοντι ἕτερα εἶναι ἀλλήλων τὰ αὐτὰ ὄντα. Ὥσπερ ἡμῖν τὰ τῶν Ἰατρῶν φάρμακα, χρώμασιν ἢ ὀσμαῖς πεποικιλμένα, ἄλλα φαίνεται τὰ αὐτὰ ὄντα, καὶ οὐκ ἐκπλήττεται ὑπὸ τῶν προσόντων· οὕτω δὲ ἴσως καὶ ὁ ἐπιστάμενος περὶ ὀνομάτων τὴν δύναμιν αὐτῶν σκοπεῖ, καὶ οὐκ ἐκπλήττεται, εἴτι πρόσκειται γράμμα, εἰ μετάκειται ἢ ἀφῄρηται, ἢ καὶ ἐν ἄλλοις παντάπασι γράμμασίν ἐστιν ἡ τοῦ ὀνόματος δύναμις». Καὶ κατὰ τοῦτον τὸν κανόνα τοῦ Πλάτωνος οἱ ἡμέτεροι τῶν θείων ὀνομάτων ἐπὶ τὸ ἑλληνικώτερον, ὡς λέγει αὐτός, *κεκαλλωπισμένοι μεταπλασμοὶ* πλησιέστεροί εἰσι καὶ πιθανώτεροι

τῶν παρ᾽ αὐτῷ τῷ Πλάτωνι, ὡς ὁ ἀδεκάστως κρίνων εὑρίσκει τὰ πράγματα· ἄλλως τε αὐτὸς μαρτυρεῖ αὐτόθι περὶ τούτου λέγων· «Σκέψαι δὴ ὃ ἐγὼ ὑποπτεύω περὶ αὐτοῦ· ἐννοῶ γὰρ ὅτι πολλὰ οἱ Ἕλληνες ὀνόματα, ἄλλως τε οἱ ὑπὸ βαρβάροις οἰκοῦντες, παρὰ τῶν βαρβάρων εἰλήφασι —· Τί οὖν δή; — Εἴτις ζητεῖ ταῦτα κατὰ τὴν ἑλληνικὴν φωνὴν, ὡς ἐοικότως κεῖται, ἀλλὰ μὴ κατ᾽ ἐκείνην, ἐξ ἧς τὸ ὄνομα τυγχάνει ὄν, οἶσθα ὅτι ἀποροῖ ἄν; — Εἰκότως γε». — καὶ ἡμεῖς ψηλαφητῶς ἐδείξαμεν ἐν τῷ ΕΙΡΑΦΙΩΤΗΣ. Ἰδοὺ ἡ ἡμετέρα ἀπολογία ἐκ τῶν λόγων τοῦ Πλάτωνος, διὰ τί τὸ ἐπ᾽ Ἑλληνικῷ ναῷ γεγραμμένον καὶ καθιερωμένον ΕΙ, ἡρμηνεύσαμεν διὰ τοῦ βαρβαρικοῦ יה.

ΤΕΛΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Τοῦ 11 σχήματος διά τινας λόγους παραλειφθέντος τὸ 11 σχῆμα λογισθήτω 12 καὶ οὕτω καθεξῆς. Περὶ δὲ τῶν λοιπῶν παροραμάτων εἴη συγγνώμη.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ




ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ



ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ